... He-
... δὴ τῶν
ecla. Pl. nt.
... ἔπος
... θέν-

C.D. 24

B-36662

Caja
1C-61

BIBLIOTECA UNIVERSITARIA
— GRANADA —
Sala Caja 2
Estante
Número 52

Codex chartaceus, saeculo XVII exaratus.

(1) - fol. 1) Glycae (Johannis) de adamo.

(2) - fol. 4) anonyma quaedam de sede passionum.

(3) - fol. 16) Nicolai methonensis
(4) - fol. 26) Gregorii nysseni
(5) - fol. 33) Samonae gazensis
(6) fol. 46) Procli Byzantini
(7) - fol. 49) Ex V concilii oecumenici actis
} de eucharistia.

(8) - fol. 52. Isaaci argyri de astronomia.

(9) - fol. 60. Nili de lapidibus.

(10) - fol. 66. Ejusdem de XII lapidibus.

(11) - fol. 70. anonymi de magni sacerdotis veste.

(12) - fol. 72. Nemesii philosophi de anima (opus in codice mutilum)

UNIVERSITARIA
DI

Archivo del Col.° de la Comp.a de Jhs de Gran.



# Τοῦ Γλυκᾶ περὶ τοῦ Ἀδάμ.

Μετὰ μέντοι τὸ ἐκβληθῆναι
τοῦ παραδείσου ὁ Ἀδὰμ ἔγνω
Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ
γεννᾷ τὸν Κάϊν. ἔγνω δὲ ταύτην
ἐμπαθῶς. τῆς γὰρ ἀγγελικῆς
ἐκπεσὼν ὁ ἄνθρωπος διαγωγῆς
ἐπειδὴ παραβὰς ὤφθη τῆς ἐντολῆς,
τῶν κτηνῶν τὸν τρόπον καὶ ἐμπαθῆ
περιέπεσε. ταύτῃ καὶ ὁ Δαβὶδ ὀδυρό-
μενος ἔλεγεν. οἴμοι, ὅτι ἄνθρωπος ἐν
τιμῇ ὢν οὐ συνῆκε, παρασυνε-
βλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις
καὶ ὡμοιώθη αὐτοῖς. κατὰ
γὰρ τοῦτο καὶ ὁ μέγας Μάξι-
μος ἐν τοῖς πρὸς Θαλάσσιον
ἔλεγεν. ὅτι τὰ πάθη ταῦτα

ἤγουν ἡδονὴ, λύπη, ἐπιθυμία, καὶ
τὰ λοιπὰ πάντα τῇ φύσει τῶν
ἀνθρώπων προηγουμένως οὐ συνεκ-
τίσθησαν, ἀλλὰ διὰ τὴν τῆς τελει-
ότητος ἔκπτωσιν, ἐπισυνῆλθε ταῦτα
τῷ ἀλόγῳ γεγραμμένη προσφυῶς
τῆς φύσεως. Δι' ὧν ἀντὶ τῆς θείας
καὶ μακαρίας εἰκόνος εὐθὺς ἅμα
τῇ παραβάσει διαφανὴς καὶ ἐπίδη-
λος τοῖς ἀνθρώποις γέγονεν ἡ τῶν ἀλό-
γων ζώων ὁμοίωσις. Ἔδει γὰρ
τῆς ἀξίας τοῦ λόγου καλυφθείσης,
ὑφ' ὧν γνωριμικῶς ἐπεσπάσαντο
τῶν ἀλογίας γνωρισμάτων ὑπὸ δίκης τὴν
φύσιν τῶν ἀνθρώπων κολάζεσθαι. Σο-
φῶς θεοῦ ὥστε αἴσθησιν τῆς λογικῆς
μεγαλονοίας ἐλθεῖν, οἰκονομοῦντος
θεοῦ τὸν ἄνθρωπον, πλὴν ἀναγκαίως

+



τοῦ ὅτι κατέδωσεν ἡμᾶς ὁ θεὸς
μετὰ τὴν παράβασιν ταῖς ἐπι-
θυμίαις ταύταις, ὑφ᾽ ὧν ἐπί τε
βρωμάτων καὶ πόσεως καὶ ἐπὶ ἀφροδίσια
καταφερόμεθα, ἐνέδυσεν γὰρ
τοῖς γεννητοῖς ἡμῶν σώμασι,
τὸ γεννᾶσθαι καὶ τρέφεσθαι καὶ διαμέ-
νειν ἕως πλήρους, καθ᾽ ὃ ἂν ἑκάστου
σώματος μέτρον ἐπιδέχηται. καὶ
γὰρ ἐκ τεσσάρων στοιχείων συγ-
κείμενον ἐπακολουθοῦσαν ἐξ ἀ-
νάγκης κέκτηται τὴν διάλυσιν.
συνθέσεως γὰρ ἀρχὴ διάστασις, ὡς
ὁ θεολόγος ἔφη Γρηγόριος. λέ-
γεται δὲ οὖν ἐπὶ τοῦ μὲν τάχιον, ἐπὶ τοῦ
δὲ βράδιον, καὶ παρὰ τοῦ μεγάλου
Κυρίλλου λέγοντος. ἀλλ᾽ ὡς κατὰ τὴν
ἀπόπλωσιν εἴκασι ὁ θεὸς τὴν

ἑαυτοῦ ζωὴν ἐκπληροῦν, ὡς ἂν ἔ-
τυχε κράσεως. ἐπὶ γὰρ τούτῳ καὶ τὰ
συστατικὰ τῆς ζωῆς ἡμῶν καρ-
δίαν δηλονότι ἐγκέφαλον, καὶ
ἧπαρ καὶ ὅσα τοιαῦτα στερροῖς
ἁπανταχόθεν ὀστέοις ἡ φύσις
ἐφρούρησεν. ὥστε μὴ κατὰ τὰς
τυχούσας προφάσεσι καταβλαπ-
τομένων αὐτῶν, ἑτοίμως οὕτω δὴ
θάνατον ἕπεσθαι. ταύταις μὲν
τοι ταῖς ἐπιθυμίαις καὶ ἡδονὴν ὥσ-
περ τι δέλεαρ ἐγκατέμιξεν, ὡς
ἐντεῦθεν ἡμᾶς ἑτοίμως καθέλκε-
σθαι, εἰ μὲν γὰρ τοῦτο ἦν, οὐκ ἂν
ἐπὶ βρῶσιν καὶ πόσιν ἐπειγόμεθα, οὐ
κἂν ἀφροδισίοις ὁλοσχερῶς
προσεκείμεθα, εἰ δὲ μὴ τοῦτο
τάχα ἂν ἐξ ἀνάγκης τὸ γένος

ἀπόλωλε, τὸ ἀνθρώπινον, κατὰ τοῦτο
μὲν οὖν ἡ γονὴ περίττωμα οἷον
οὖσα κατεπείγει καὶ ἀνιᾷ καὶ ἀναγ-
κάζει τὸ ζῶον ὁρμᾶν, ἐπὶ τὴν
ἀπόκρισιν αὐτοῦ εὐμεθόδως,
καὶ τοῦτο τοῦ θεοῦ συγχωρήσαντος
ἕνεκεν τῆς τοῦ γένους διαμονῆς.
ταῦτα καὶ μάτην καὶ φλυαροῦντι-
νες ἠγνοηκότες, ὡς ἔοικε, κτίσ-
μα τοῦ Διαβόλου τὴν σάρκα ἔλε-
γον εἶναι, ὑπ' αὐτοῦ τε πλάσσε-
σθαι, καὶ πρὸς ἄτιμα πάθη κυ-
λίεσθαι, πλὴν οὐκ ἀφῆκε πρὸς
συναφθῆναι ἡμᾶς ὁ θεὸς εἶναι καλω-
φεῖν, οὐδὲ ζῶον ἀνεπαισθήτως,
εἴασεν ὡς τὰ ἄλογα, τῇ γὰρ
ἡδονῇ καὶ ἐνδείαν συνέζευξεν,

καὶ σύμμικτον ταὐτ' ἐποίησεν
ὡς ἐκεῖθεν μὲν ἐπὶ τὴν τοῦ
γένους αὔξησιν ἕλκεσθαι. ἐν
τεῦθεν δὲ ταλανίζειν ἑαυτοὺς
τῶν πρὸ ἐπιμεμνῆσθαι. καὶ τῆς
ἁμαρτίας μέγα καταβοᾶν, δι'
ἣν τῆς ἐν παραδείσῳ διατριβῆς
ἀπορρίφθημεν, δι' ἣν καὶ τοῖς ἀ-
νοήτοις παρασυνεβλήθημεν κτή-
νεσι.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

Πρὸς τοῦτο ἤδη δὲ εἰδέναι σε βού-
λομαι καὶ τοῦτο. ὅτι ἐπιθυμητι-
κὸν μὲν ἐν τῇ ψυχῇ τῷ ἥπατι ἐγ-
καθίδρυται. τὸ δὲ θυμικὸν ἐν
τῇ καρδίᾳ ποιεῖται τὴν οἴκησιν. τῷ
δὲ λογικῷ ἐν αὐτῷ τῷ ἐγκεφά-
λῳ. τοῦτο μὲν οὖν τὸ λογικὸν
ἐχαρίσατο σοι ὁ τῶν ὅλων πρύ-
τανις, ἵνα συμμάχῳ τῷ θυ-
μικῷ χρώμενος γενναίως ἀν-
θίστασθαι κατὰ τῆς ἀλόγου καὶ
βοσκηματώδους ψυχῆς τῆς
ἐπιθυμητικῆς δηλαδή. οἱ δὲ γὰρ
δὴ τῆς φύσεως δεσπότης ὅσηπερ
ἐκείνης ἐστὶν ὁρμή, ὅτι δὲ τὸ τῆς
ψυχῆς ἐπιθυμητικὸν αὐτῷ τῷ
ἥπατι ἐγκαθίδρυται, καὶ τοῦτο
τυὸν παράγει ὁ Γαληνὸς εἰς σύστα-
σιν

τούτου τοῦ λόγου, ἐν μὲν τῇ διαγ-
νωστικῇ αὐτοῦ ὑπὸ ἀετῶν λέ-
γων αὐτοῦ κατεσθίεσθαι τὸ ἧπαρ.
ἐν δὲ τῷ περὶ ἠθῶν ψυχῆς μο-
νοβίβλῳ ὑπὸ γυπῶν. ὁ γὰρ
Τιτυὸς οὗτος κατὰ τὴν ἔξω μυ-
θολογίαν ἐρασθῆναι λέγεται Λη-
τοῦς, ἐφ' ᾧ καὶ παρὰ τῶν παίδων
αὐτῆς Ἀπόλλωνός τε καὶ Ἀρτέμι-
δος κλ καθ ὑποβληθῆναι, καὶ
κατὰ μὲν τὸν Γαληνὸν ὑπὸ ἀε-
τοῦ. ἅτε καὶ γυπῶν τὸ ἧπαρ ἐσθί-
εσθαι. κατὰ δὲ ἄλλους τινὰς το-
ξευθῆναι αὐτόν. κἀντεῦθεν
ἔχειν τὰ βέλη ἐμπεπηγμένα
τῷ ἥπατι. εὔδηλον οὖν ἐντεῦ-
θεν, ὡς ἐν τῷ ἥπατι τὸ τῆς ψυ-
χῆς ἐπιθυμητικόν ἐστι. προ-

σέχε

λοιπὸν ὅταν μὲν γὰρ τὸ λογιστι-
κὸν ἄρχῃ πειθομένων μὲν αὐτῷ
τοῦ θυμοειδοῦς ἦ, ἀσθενὲς δὲ
καὶ ταπεινὸν τοῦ ἐπιθυμητικοῦ,
οὔτε ἀκόλαστος ὁ τοιοῦτος βίος
οὔτε οἷον οἱ λησταὶ βιοῦσι καὶ τύραν-
νοι, ἀλλὰ σεμνὸς πάντη καὶ δί-
καιος. καὶ τούτου χάριν ἀμφιβάλ-
λειν οὐ χρή. εἰ μὲν γὰρ τοῦτο
ἦν, εἰ μὴ καὶ ἐξ αὐτῆς τῆς σώ-
ματος κατασκευῆς οὗτος μὲν
ὑπὸ παθῶν ἐκτήκετο, ἐκείνου
δὲ πάλιν ἐγκρατὴς αὐτῶν κατε-
φαίνετο, οὐκ ἂν ὁ μέγας Βασίλ-
τὸν προφήτην Ἠσαΐαν ἐξηγού-
μενος ᾐτιᾶτο τινὰς ἐκ φύσεως ἔ-
χοντας προτερήματα καὶ κατά
γε τὴν σύγκρισιν τῆς σαρκὸς πολ-
λῶν

διαφέροντας εἰς ἀνάληψιν ἐπιστή-
μης, ἢ καὶ εἰς ἄσκησιν ἀρετῆς, ἐν-
τεῦθεν οὖν καὶ σώφρονα ἴδοι τις
ἂν καὶ ἀκόλαστον, θυμώδη, καὶ πρᾶον,
ἐχέφρονα καὶ μὴ τοιοῦτον, ὡς δὴ
καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται.
ταῦτα μὲν οὖν δύναται αὐτῆς ἐπὶ
τὸ κρεῖττον μεταφέρειν ἀπὸ τοῦ
χείρονος. καὶ ἐπὶ τοῦ χείρονος
αὖ μεταστρέφειν ἀπὸ τοῦ κρείτ-
τονος. καὶ δηλοῖ ἐξ ὧν ὁ θεο-
λόγος Γρηγόριος ἔλεγεν, ἀρκεῖ
τὸ τῷ σώματι ἡ κακία αὐ-
τοῦ. τί δὲ δεῖ τῇ φλογὶ πλεί-
ονος ὕλης, ἢ τῷ θηρίῳ δα-
ψιλεστέρας τροφῆς, ἵνα δυσ-
κάθεκτον γένηται καὶ τοῦ λο-

γισμοῦ βιαιοτέρου:

Πρόσεχε οὖν ὅσα βιάζουσιν ἑαυ-
τοὺς οἱ θέλοντες μὲν σωφρο-
νεῖν, ἔχοντες δὲ τὸ ἐπιθυμη-
τικὸν ἰσχυρόν, ἡ μὲν γὰρ φύσις τὰ
ἑαυτῆς ἐξ ἀνάγκης ἐπιζητεῖ. ὁ δὲ
ἁγνείαν αἱρούμενος, τοῖς θελή-
μασιν αὐτῆς ἀντιπίπτει, καὶ βίον
ἀγγελικὸν μιμεῖσθαι φιλονικεῖ.
ὅσον δὲ βαρὺ τὸ πρὸς φύσιν μά-
χεσθαι καὶ οἷον ἐντεῦθεν τὸ ἔπα-
θλον ὁ τῆς κλίμακος Ἰωάννης ὁ ἅγιος ἐδή-
λωσεν οὕτως εἰπών, ὁ σῶμα νι-
κήσας φύσιν ἐνίκησε, ὁ δὲ φύσιν
νικήσας ὑπὲρ φύσιν ἐγένετο. ὁ δὲ
τοῦτο γενόμενος, βραχύ τι παρ' ἀγ-
γέλους ἠλάττωται, ἵνα μὴ λέγω οὐ-
δέν. Πρόσεχε δὲ ὅτι καὶ σφόδρα
βαρὺ ἀλγοῦσι καὶ ἄχθονται οἱ θέ-
λοντες

μὲν σωφρονεῖν, ἔχοντες δὲ τὸ ἐπιθυ-
μητικὸν ἰσχυρὸν πολυπληθῆ τε
τῶν γονικῶν πρὸς ἔξοδον ἀεὶ ἐπει-
γόμενον τοῦ ἐνοχλοῦντος αὐτοῖς
καὶ μὴ κατεπείγοντι ἀμφιβάλλειν, ὁ γὰρ
ὁ Διογένης ἐκεῖνος ὁ κυνικὸς τοῦ
φύσεως βάρος οὐκ ἐνεγκὼν, καὶ ταῦτα
τοσοῦτον ἀσκητικώτατος ὢν γυ-
ναῖκα ζητῆσαι λέγεται ὥστε τὸ βά-
ρος ἀποθέσθαι καὶ τὸ ἑαυτοῦ σῶ-
μα κουφίσαι, τί χρὴ καὶ λέγειν
ὅσον ὑπομένουσι κάματον, οἳ
σφοδρὰν μὲν ὡς εἴρηται λαχόντες
τὸ ἐπιθυμητικὸν ἐν ἁγνείᾳ δὲ
φυλάσσειν ἑαυτοὺς προθυμού-
μενοι, ἐντεῦθεν ἀγαπητὲ καὶ τῶν
ὁσίων τινὲς ἵνα τὴν φυσικὴν ἀ-
ποσβέσωσι πύρωσιν, καὶ γυμνὸν
τὸ σῶμα μέσον ὕδατι διημερεύ-
οντες

ὠφελήματα, μηδὲν λοιπὸν ἐπὶ μέσου προσφέρεσθαι τὴν γένεσιν, μηδεὶς σὺ κἀγαθοὺς ἀστέρων προφασιζέσθω σχηματισμοὺς ἀστέρων κινήσεις, ἀνατολάς τε καὶ δύσεις αὐτῶν τοῖς προσήκουσι γίνεσθαι καιροῖς. ὠκονόμησεν ὁ σοφὸς τὰ πάντα διευθετῶν. ὡς ἐντεῦθεν ἀέρος μεταπεμπομένου καὶ ὄμβρων καταρρηγνυμένων, εὐκαίρως αὔξεσθαι τὰ φυτά, καὶ γὰρ τῶν τροφῶν ὡς ἐν κύκλῳ διηνεκῶς χορηγουμένων, ἀνελλιπής. καὶ ἡ τῶν προσφερομένων τοὺς καρποὺς διαμένει φύσις, ὡς ἀρτῆκεσθαι μὲν ἐκεῖνα διὰ τοὺς καρπούς. τοὺς δὲ καρποὺς διὰ τὰ ζῶα καὶ τὸν ἄνθρωπον, οὐ γνώμαις λοιπὸν οἱ ἀστέρες μεταπέμπουσιν, οὐδὲ καθάπερ τι

ἀνδράποδον τοῦ κατακόναλου
περιάγουσιν αὐτόν, οὐδὲ γὰρ ἐκ τοσούτων
τῶν ἂν εὑρεθεῖεν ἄδικοι. τοὺς μὲν
μοιχοὺς ποιοῦντες, τοὺς δὲ φονεῖς
καὶ ἅρπαγας. ἀλλὰ καὶ πρὸ τῶν
ἀστέρων ὁ δημιουργὸς αὐτῶν τὴν
αἰτίαν ἀποφέρεται, ὅσπερ τοιαῦτα
κατεσκεύασεν ἐνοῦσαν τὴν ἐπιφορὰν ἡ-
μῖν ἐξ ἀνάγκης τῶν κακῶν ἐπι-
πλῆσαι, καθὰ δὴ καὶ πρὸς Φαῦστον
ὁ κορυφαῖος ἔλεγεν· εἴπερ γένεσις καὶ
εἱμαρμένη τὸ πᾶν ἐπιτρέπει, ὅρα
λοιπὸν τοὺς νεκρῶς, τὸ μὴ ἐπιπλέ-
ον τοῖς λόγοις αὐτῶν θορυβοῦ, εἰ-
γὰρ καὶ λέγουσιν ὅτι ἡ ὥρα καθ'
ἣν ἡ σύλληψις τοῦ συλλαμβανο-
μένου γίνεται. ἑκάστη γὰρ τὸ πρασσου-
γούμενον, εἴτε ἄρρεν, εἴτε θῆλυ
διαπλάττειν ἄριστα ἄνωθεν. ἀλλὰ
θεῶς

ἀνθυποφέρειν, ἔχεις καὶ σὺ οὕ=
τω λέγειν αὐτοῖς. ὡς ἔπρεπε
ἐν μιᾷ ὥρᾳ καὶ τῇ αὐτῇ κατα=
βολῇ τῶν διδύμων ἡ σύλληψις
γίνεται, ἔπρεπε πάντως, μὴ τὸ
μὲν ἄῤῥεν τὸ δὲ θῆλυ, ἀλλ᾽ ἄῤ=
ῥενα καὶ ἄμφω κατὰ τὴν ἐπι=
κρατοῦσαν ὥραν ἢ θήλεα ταῦ=
τα διαπλάττεσθαι. οὕτως μὲν,
σὺν ἔδει, μὴ τὸ μὲν αὐτῶν κατα=
χρόνιον τελευτᾶν, τὸ δὲ βραδέως, ἀλ=
λ᾽ ὁμοῦ καὶ ἄμφω τῶν ὧδε μεθί=
στασθαι. κατὰ γὰρ ἐκείνους ὁ αὐ=
τὸς ἀστὴρ, κακίγω καὶ τούτῳ τὴν
ζωὴν ἐχαρίσατο, ἀλλὰ καὶ ἐπί
τισι παθήμασι καὶ σινωμένων ὀφθῶν
ἀλίσκοντ(αι) πολλὰ κ(αὶ) γὰρ τὰ κατὰ μή=
τραν πηγνύμενα. τά τε γὰρ θή=
λεα σχήματα πολλάκις ἀνδρῶν περί
που τὰ γεννητικὰ φέρουσι μό=
ρια. καὶ τοὐναντίον ἄνδρες τὰ ἄῤ=
ῥενα

τοὺς ἀστέρας αἰτίους ἡγοῦνται. ταύ-
τῃ τοι καὶ Ἑρμαφροδίτους τοὺς τοι-
ούτους ἐπονομάζουσι. κομψεύον-
ται γάρ· ἐπειδὰν ὁ Ἑρμῆς καὶ ἡ
Ἀφροδίτη συνέλθωσιν ὁμόκεντροι
συνόντος αὐτοῖς τοῦ κρόνου. πρὸς
δὲ καὶ σχηματιζομένου τοῦ ἄρεως,
αἴτιοι παραυτίκα καὶ τῶν παρὰ
φύσιν παθῶν τοῖς τικτομένοις
καθίστανται. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ
ἔστι. ἡ γὰρ διαπλάττουσα τὸ
ἔμβρυον φύσις, αἰτία πολλά-
κις τῶν τοιούτων χωρὶς καθ' ἄνω-
θεν ἀποδέδεικται, ἀλλὰ καὶ ὁ παρ'
αὐτοῖς τοῖς Ἕλλησι τιμώμενος Ἑρ-
μῆς, Ἄμμωνι τῷ σοφῷ ἐπιστέλ-
λων αὐτοὺς αἰτιᾶται τοὺς ἀστέρας
ἐπί τε τοῖς μαινομένοις καὶ τὸ φρό-
νημα κεχυτημένοις παράφορον,
ὡς αἰτίους δήπουθεν τοιούτων παθῶν.
φησὶ γὰρ ὡς ἐπειδὰν ἐξ ἀγαθοῦ σχή-
ματος ὁ τοῦ ἐγκεφάλου κυριεύ-

ων

ἀστὴρ κατοπτεύει τὸ πλαστούργη- ,,
μα ἐν ᾗ κἀκεῖθεν ἀκτῖνα βάλλει ,,
τῷ ἐγκεφάλῳ τοῦ πηγνυμένου ,,
καλῶς ἔχουσιν ἡγεμονικῇ καὶ δυνά- ,,
μεις τῷ πλαττομένῳ ἡνίκα ταῦτα ,,
ἐμβρύῳ· ὁ δὲ κακούμενος ὅπως ,,
δήποτε τύχῃ ὁ τοιοῦτος ἀστὴρ τῶν ,,
ἐναντίων ἐστὶ πάντως ποιητι- ,,
κός, καὶ οὕτως μὲν οἱ τοῖς μετεώ-
ροις προσέχοντες καὶ φρονοῦσι
περὶ τούτων καὶ λέγουσι. σὺ δὲ
ἀγαπητὲ μὴ οὕτως· ἀλλὰ
μοχθηροῖς τισὶ χυμοῖς κατα-
κρατηθῆναι τὸν ἐγκέφαλον πίστε-
υε ἡνίκα θεάσῃ τινὰ παρακο-
πῇ φρενῶν συνεχόμενον. ὁ γὰρ
ἐγκέφαλος ὄργανον ἐστὶ τοῦ νο-
ός. ταύτῃ τοι καὶ κατὰ τὴν τοῦ
ὀργάνου διάθεσιν, καὶ ὁ τεχνίτης
ἀσθενοῦς ἐνεργεῖν. ἐπὶ γὰρ τού-
των

καὶ βοτάνας ἀκεσωδύνους παρή-
γαγεν ὁ θεὸς, ἣ σοφίᾳ ἰατρικῆς
τοὺς αἴνους ἐνέπλησεν, ἐντεῦ-
θεν γὰρ καὶ κεφαλὴν καθαιρο-
μένην ἴδῃ τις, καὶ πάθη ἄλλα
τινὰ θεραπείας ἀξιούμενα, φαρ-
μάκων καταλλήλων ἐπαγωγαῖς.
μὴ οὖν συναρπάζου τοῖς λόγοις
αὐτῶν. ὅτι μὴ δὲ καθ' εἱμαρ-
μένην ὡς ἔρηται τὰ πάθη τοῖς
ἀνθρώποις ἐμπίπτουσι· τί δὲ τὸ τῆς
εἱμαρμένης ἐστὶ σημαινόμενον, ὡς
ἐκεῖνοι φασὶν, ἡ ἀπὸ τῶν καθ' εἱρ-
μὸν τῶν οὐρανίων σωμάτων
κίνησις ἀπαράβατος ἐκβαίνουσα, ὧν δὴ
καὶ πάντων ὅλων ἐξάρχουσα, πόρρω
που ῥιπτεῖ καὶ ἀποπεμπτέον· τίνος
ἕνεκα, ὅ, τι πολὺ μὲν τὸ ἀνόητον
κέκτηται. πολλαπλασίως δὲ τὸ ἀσε-
βὲς ὡς ὁ μέγας φησὶ βασί-
λειος

φυσικῶς μὲν οὖν ὡς προείρηται
καὶ διοικεῖσθαι τὸ ἡμέτερον σῶμα
καὶ διεξάγεσθαι συγκεχώρηται,
παρ᾽ αὐτοῦ πάντως τοῦ δεσπότου
τῆς φύσεως, εἰ μὴ γὰρ τοῦτο ἦν, οὐ
κἂν τῆς ζωῆς ἡμῶν σύστασις καὶ
ἀέρος ἔχρησε καθαροῦ. καὶ ὑδά-
των διειδῶν τόπου τε καὶ ὑγιει-
νοῦ, καὶ κατάλληλων ὡσαύτως
βρωτῶν καὶ ποτῶν, ἀλλ᾽ ὅρα τὴν τοῦ
θεοῦ σοφίαν ἀγαπητέ:

Εἶτε δὴ καὶ φυσιολογίας μικρὸν
ἅψεσθαι. ἵνα γὰρ μὴ τὰ καί-
ρια τοῦ σώματος ἡμῶν μόρια
καὶ ταῖς τυχούσαις προφάσεσι κατα-
βλάπτονται, πολυτρόπως ὡς προ-
είπομεν καὶ πολυειδῶς ἠσφαλίσα-
το, αὐτίκα γὰρ τὴν κεφαλὴν
ἡμῶν, ἅτε δὲ τὸν ἐγκέφαλον

αὐτὸν περιέχουσαν, ἐν ᾧ τὰ τῆς ζωῆς
ἡμῶν ποιεῖ διάληπται καὶ θριξὶ κα-
τωχύρωσε καὶ ὀστέοις πρὸ τούτων
στερροῖς, ἁπαλὸν δὲ ἡ φύσις τοῦ-
τον ἐποίησεν. ἐπεὶ δὴ ταῖς αἰσ-
θήσεσι πάσαις αὐτὸς χορηγεῖ
τὰς πηγάς. ἵνα δὲ μὴ τῇ σκλη-
ρότητι τῶν ὀστῶν συντριβόμενος
περὶ τὴν οἰκείαν βλάπτηται φύ-
σιν, ἁπαλὸς ὢν γὰρ μήνιγξιν αὐ-
τὸν περιέβαλε. καὶ ταύταις οὐχ
ἁπλῶς ἀλλ' ἁπαλὴν μὲν οὖσαν
τὴν ἔσωθεν. διά τε τὴν τοῦ ἐγκε-
φάλου ἀνάπαυσιν, σκληροτέρας
δὲ πάλιν τὴν ἔξωθεν, ὡς ἐνταῦ-
θεν καὶ ἄμφω φυλάττεσθαι. τὸ αὐτὸ
μὲν οὖν καὶ ἐπὶ τῆς καρδίας ἐποίησε, κα-
θὰ δὴ καὶ ὁ Χρυσορρήμων φησὶν
ὀστέοις μὲν περικυκλώσας, παρα-
θεὶς δὲ αὐτῇ καθάπερ τινὰ ἁπα-
λὸν

ῥεῦμα τοῦ πνεύματος, ἵνα μὴ
τῇ ἀεικινησίᾳ καὶ αὐτὴ τοῖς ὀστέοις
συντρίβηται, ἀλλὰ καὶ τὸ μὴ συν-
εχὲς τε καὶ ἓν εἶναι τὸ καλύπ-
τον ὀστοῦν τὸν ἐγκέφαλον, ἀλλὰ
πανταχόθεν ἔχειν ῥαφὰς πολ-
λῆς ἀσφαλοῦς ὑποθέσεις. ἐξατμίζε-
ται γὰρ ἐκεῖθεν αὐτός, ὥστε μὴ
συμπνίγεσθαι ὑπὸ τῶν ἀναφε-
ρομένων ἀτμῶν, πληγῆς τε εἴ τις
ἐπενεχθῇ ποτε οὐχ ὁλοσχερὴς
ἡ βλάβη γίνεται, εἰ μὲν γὰρ ἦν
συνεχὲς ἓν τὸ ὀστοῦν, καὶ μία κα-
τενεχθεῖσα πληγὴ ἐλυμήνα-
το, εἰς πολλὰ δὲ νυνὶ διαιρουμέ-
νου γενέσθαι τοῦτο παντὼς ἀμή-
χανον, ἂν γὰρ καὶ συμβῇ πεπονθέναι
μέρος ἕν, ἀνάγκη πᾶσα τὸ κατ'
ἐκεῖνο τὸ μέρος κείμενον ὀστοῦν

παραβλάπτεσθαι, ἀσινῆ δὲ τὰ λοιπὰ
πάντα διαφυλάττεσθαι τοῦ δέω
ἐχόντων πάντως διακοπτομένου τῇ
τῶν ὀργάνων διαιρέσει. Περὶ δὲ τούτων
τῶν κεφαλικῶν περιττωμάτων τί χρὴ
καὶ λέγειν, ἅ γε τῆς ἐκκρίσεως αὐτῶν
ὡς ὁρᾷς ἡ ὄσφρησις πεπίστευται.
ἐπειδὴ γὰρ τοὺς κάτωθεν ἀνα-
πεμπομένας ἀτμοὺς ὡς ὑπερ-
κειμένη αὕτη τοῦ σώματος ὑπο-
δέχεσθαι εἴωθε, καὶ δὲ τούτων
πλημμυρόντων, πολλὴν αὐτὸ ἐργάσαιτο
τὸ ἐγκεφάλῳ λώβην. Οὐ δὲ τούτου
κατημέλησεν ὁ τῶν ἁπάντων
ποιητής, ἀλλὰ πόρους τινὰς ἐν
τοῖς ὀστέοις ἐργασάμενος τὰ ὑγρὰ
καὶ παχέα τῶν περιττωμάτων, ἐπὶ
τὴν ὑπερῴαν καὶ τοὺς μυκτῆρας
ὡδήγησε, καὶ δύο τούτοις ἐκκρί-
σεως

ἀπένθημα μόρια, ἵνα αὐτομάτως
τὸ βλαβερὸν ἐκφέρηται. τὸ δέ γε ἀτ-
μῶδες περίττωμα διὰ τῶν τοῦ
κρανίου ῥαφῶν ἄνωθεν ἐξωθεῖ-
ται. μὴ θαύμαζε δὲ εἴ γε ψυχρὸς
ἐστὶν ὁ ἐγκέφαλος φύσει, καὶ ὅτι μά-
ζωνα τοῦτον ὁ ἄνθρωπος ἢ τὰ λοι-
πὰ ζῶα κέκτηται, τὴν γὰρ ἐν
τῇ καρδίᾳ θερμότητα τε καὶ ζέσιν
χωρᾶν ἐπὶ τὸ εὔκρατον ἐντεῦ-
θεν, ὁ Ἀριστοτέλης φησίν. αὐτὸν
δι' αὐτοῦ τὸν ἐγκέφαλον μὴ ὑπερ-
θερμαίνεσθαι τῇ ἀναφερομέ-
νῃ θερμότητι, καὶ γὰρ οὐ μικρῶς
ἐν τούτοις ταῖς ἐνεργείαις αὐτοῦ
παραβλάπτεται. ὅρα δὲ νοσωεχ
ἐπειδὴ γὰρ ἡ τοιαύτη θερμότης μά-
ζων ἐστί, μάζων ἄρα καὶ ἡ ἐξ τοῦ ἐγκε-
φάλου ψυχρότης τε ὁμοῦ καὶ
ὑγρότης ἀντίκειται. ἧς ὑγρότη-
τος

ἕνεκα, καὶ ὀψιαίτατα πήγνυται,
τὸ περὶ τὴν κεφαλὴν ὀστοῦν, ὃ
δὴ καὶ βρέγμα καλοῦσί τινες, ἀλ-
λὰ ῥαφὰς πλείους ὁ αὐτὸς κέκτη-
ται. καὶ μᾶλλον ὁ ἀνήρ, τίνος ἕ-
νεκεν, ὅτι καὶ πλειόνων ὁ ἀνὴρ ἐ-
δεήθη ῥαφῶν, κατ' αὐτὸ δὴ πάν-
τως τοῦ ἐγκεφάλου τὸ μέγεθος, καὶ
ξηρὸς μὲν ὁ τοιοῦτος, καὶ ἀπέριτ-
τος ὤν, τἀναντία ποιεῖ, νωθρὸν
δηλονότι, καὶ ὑπνώδη, καὶ ῥάθυμον,
καὶ προσέχεσθαι βοῶ τῷ σοφῷ Ἡρα-
κλείτῳ. ψυχὴ ξηροτέρη σοφω-
τέρη. ἐπὶ γὰρ τῶν ὑγρῶν κατα-
κλυζόμενον οἷον ἢ τὸ ψυχικὸν
πνεῦμα, καθάπερ καὶ ἐπὶ τῶν γυ-
ναικῶν ἔστιν ἰδεῖν, ἐνεργεῖν ἀρίστως
οὐ δύναται· κατὰ γὰρ τοῦτο καὶ τῆς
τῶν ἀνδρῶν εὐφυΐας καὶ ἐξ ἡμι-
σείας ἀπολείπεσθαι τὸ θῆλυ φησίν

ὁ θειότατος Κύριλλος, καὶ ἡμῖν μὲν
ὁ λόγος περὶ τῶν κατὰ φύσιν ἐχόν-
των διέξεισιν, ἡνίκα δὲ ξηρότερος ἑ-
αυτοῦ καὶ πλέον τοῦ δέοντος ὁ ἐγ-
κέφαλος γένηται, παραπαίειν ἐξ
ἀνάγκης ποιεῖ τὸν ἄνθρωπον, αἱ μεγά-
λαι γὰρ δυσκρασίαι τὰς ἐνεργεί-
ας τῶν μορίων ἀμβλύνειν εἰώ-
θασιν, ὅθεν ἡ ἀσιτία πολλάκις καὶ
μὴν καὶ ἡ ἀγρυπνία τὴν κατὰ φύ-
σιν ἐπεκτείνουσα τοῦ ἐγκεφάλου
ξηρότητα ποιεῖν εἴωθε τοιαῦτα
συμπτώματα· κατὰ τοῦτο καὶ ὑγροτέ-
ρᾳ διαίτῃ κεχρῆσθαι τοὺς οὕτω
διατεθέντας ἐπάναγκες. τὰ γὰρ
διὰ ξηρότητα πάθη τῇ ὑγρότητι
θεραπεύονται, ψυχροῦ δὲ πάλιν
ἑαυτοῦ διά τινα νόσον γεγονότος
ὁ ἐγκέφαλος καὶ λήθην ἐπάγει καὶ
μώρωσιν, κατὰ τοσοῦτον δὲ ὥστε
καὶ τεχνῶν καὶ γραμμάτων καὶ τοῦ

ὀνόματος πολλὰ καὶ αὐτοῦ μετὰ τὴν ἔ-
γερσιν ἐπιλελῆσθαι τὸν ἄνθρωπον. τρισὶ
γὰρ ὑμέσι διήρηται ὁ ἐγκέφαλος,
καὶ ἡ μὲν ἐμπρόσθιος αὐτοῦ κοιλία
ὄργανόν ἐστι τοῦ φανταστικοῦ, ἡ δὲ μέ-
ση κοιλία, ὄργανόν ἐστι τοῦ διανοη-
τικοῦ. καὶ ἑτέρα πάλιν τοῦ μνη-
μονευτικοῦ, πρότερον μὲν γὰρ
φανταζόμεθα τόδε τὸ πρᾶγμα
μετὰ ταῦτα διαλογιζόμεθα τὸ
φαντασθὲν τότε καὶ ποταπὴν αὐτὸ
τὴν φύσιν ἔχειν, εἶθ' οὕτως τῇ
μνήμῃ τὸ τοιοῦτον ἐναποτίθε-
μεν. καὶ ταῦτα μὲν ἐπὶ τῶν ἐχόν-
των καλῶς τε καὶ ὑγιῶς, ἀλλ' ἐπει-
δὰν ἐξ αὐτῶν πάθῃ τινὶ ὁτῳδή-
ποτε περιπαθέντος, τότε κατ' ἐ-
κεῖνο τὸ μέρος ἡ ψυχὴ καθα-
ρῶς ἐνεργεῖν οὐ δύναται. αὐτὰ
δὲ τέκνον ὑποτίθημί σοι, ὅπως

μὴ τοὺς τῶν ἀστέρων σχηματισ-
μοὺς αἰτίας καθυποβάλλουσιν, εἴγε
φυσικοῖς τισὶ λόγων τὰ ταῦτα
γίνεσθαι εἰώθεν. ταῦτα μὲν οὖν ἐπὶ
καὶ παρεκβατικώτερον εἴρη-
ται, ἀλλὰ φιλομαθείας ἕ-
νεκα πάντων τῶν σῶν
ἐφέσει, καὶ γὰρ
ὡς ὁ ἐραστὴς
τῆς σῆς χα-
ριζόμε-
νος.
καὶ φιλοπόνως ταῦτα
συνέλεξα καὶ φι-
λοτίμως ὧδε
διείληφα
τῷ συντά-
γματι.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

τέλος.

U

(3) C.D. 26


# ΝΙΚΟΛΑΟΥ ΤΟΥ μακαριωτάτου Ἐπισκόπου Μεθώνης.

UNIVERSITARIA DE GRANADA

Πρὸς τοὺς διστάζοντας καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος, οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τὴν μυστικὴν ταύτην καὶ ἀναίμακτον ἱερουργίαν, καθ' ἣν τὸν ἄρτον καὶ τὸ ποτήριον καθαγιαζόμενα εἰς τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου μεταποιεῖσθαι πιστεύομεν παρὰ τίνος ἀπὸ τὴν ἀρχὴν φαίνῃς δοθῆναι

. ἄρτον οὐχὶ παρ' αὐτοῦ τοῦ θ(εο)ῦ κ(αὶ) σω=
τῆρος ἡμῶν Ἰ(ησο)ῦ Χριστοῦ καθὼς
ἡμᾶς τὰ ἱερὰ διδάσκουσιν εὐαγ=
γέλια; παρ' αὐτοῦ πάντως.
οἷος δὲ καὶ ὁ λόγος τῆς παραδόσε=
ως. τοῦτο ποιεῖτε φησὶν εἰς
τὴν ἐμὴν ἀνάμνησιν. καὶ ὁ θεῖ=
ος Παῦλος. ὁσάκις γὰρ ἂν ἐσθί=
ετε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτή=
ριον τοῦτο πίνετε, τὸν θάνατον
τοῦ κ(υρίο)υ καταγγέλετε. πῶς
καὶ τίνι τρόπῳ. παρ' αὐτοῦ τοῦ
σωτῆρος ἐμάθομεν. λαβὼν
γάρ φησι τὸν ἄρτον, καὶ εὐχα=
ριστήσας ἔκλασε καὶ ἔδωκε τοῖς
μαθηταῖς καὶ εἶπε. λάβετε, φά=
γετε τοῦτό ἐστι τὸ σῶμά μου τὸ
ὑπὲρ ἡμῶν κλώμενον καὶ διδό=
μενον. ὡσαύτως καὶ τὸ ποτήριον-

μετὰ τὸ δειπνῆσαι λέγων. τοῦτο ,,
τὸ ποτήριον, ἡ καινὴ διαθήκη ,,
ἐστὶν ἐν τῷ αἵματί μου. ταυ-
τὸν δὲ εἰπεῖν, κατὰ τὸν θεῖον
Ματθαῖον, τοῦτο ἐστὶ τὸ αἷμα ,,
μου τὸ τῆς καινῆς διαθήκης ,,
τὸ ὑπὲρ ἡμῶν ἐκχυνόμενον. ,,
ὁ δὲ σκοπὸς τῆς καὶ τὸ τέλος τῆς
παραδόσεως τί ἄλλο ἢ μετου-
σία Χριστοῦ, καὶ ζωὴ ἐν Χρι-
στῷ τῶν μετεχόντων αἰώνιος.
ἐάν τις γάρ φησι φάγῃ ἐκ τού- ,,
του τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶ- ,,
να. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώ- ,,
σω ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ ,,
δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ,,
καὶ ἐὰν μὴ φάγητε τὴν σάρκα ,,
τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πί- ,,
ητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ,,
ζωὴν ἐν αὐτοῖς. ὁ τρώγων μου ,,

„ τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα
„ ἔχει ζωὴν αἰώνιον. καὶ πάλιν.
„ ὁ τρώγων μου τὴν σάρκα καὶ
„ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ
„ μένει κἀγὼ ἐν αὐτῷ. καθὼς
„ ἀπέστειλέ με ὁ ζῶν πατὴρ
„ κἀγὼ ζῶ διὰ τὸν πατέρα,
„ καὶ ὁ τρώγων με κἀκεῖνος
„ ζήσεται δι' ἐμέ. τὴν ἑαυ
τοῦ σάρκα ὡς δέλεαρ ἐν ἀγ
γίστρῳ περιτιθέμενος τῇ θείᾳ
αὐτοῦ δυνάμει, τὸν μὲν ὄφιν
καθῄρηκε, ἡμᾶς δὲ ἀνάγει.
βαβαὶ τί φρικτὸν καὶ φοβερὸν
τὸ μυστήριον. ὁ παραδεδωκὼς
τοῦτο, θεός ἐστι. διὰ φιλαν
θρωπίαν καὶ ἄνθρωπος γενό
μενος καὶ ὡς πρόβατον ἐπὶ σφα
γὴν καὶ θάνατον προσερχόμε
νος

ἵνα τὸν ὑπόδικον τῷ θανάτῳ διὰ
τὴν ἁμαρτίαν ἄνθρωπον τοῦ θα-
νάτου ἐξέληται. αἰτία δὲ τῆς πα-
ραδόσεως, καὶ τῆς μεγάλης ταύτης
εὐεργεσίας ἀνάμνησις. σῶ-
μα καὶ αἷμα Χριστοῦ τὰ τελούμε-
να. τὸ τελευταῖον τέλος μετουσία
Χριστοῦ καὶ ζωὴ αἰώνιος. ταύ-
του δὲ ἁπάντων τῶν μετεχόντων
ἡ θέωσις. ὡς καὶ ὁ θεσπέσιος
Παῦλος μεγαλοφώνως βοᾷ.
τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐ-
λογοῦμεν, οὐχὶ κοινωνία τοῦ
αἵματος τοῦ Χριστοῦ ἐστιν; εἶτα
ἐπάγει καὶ λογισμὸν πῶς γινό-
μεθα σῶμα Χριστοῦ καὶ φησί.
τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ
κοινωνία τοῦ σώματος τοῦ Χρι-
στοῦ ἐστιν; ὅτι εἷς ἄρτος, ἓν σῶ-
μα

Οἱ πολλοί ἐσμεν. οἱ γὰρ πάν-
τες, ἐκ τοῦ ἑνὸς ἄρτου μετέ-
χομεν. τί γάρ ἐστι φησὶν ὁ
ἄρτος. δηλονότι σῶμα χρ-
ιστοῦ. τί δὲ γίνονται οἱ μετα-
λαμβάνοντες. δηλονότι σῶ-
μα χριστοῦ. μετέχοντες γὰρ
τοῦ σώματος τοῦ χριστοῦ καὶ ἡ-
μεῖς, ἐκεῖνο γινόμεθα. ἐπη-
δὴ ἡ πᾶσα ἡμῶν σὰρξ ἐφθά-
ρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν
ἡμῖν σαρκὸς νέας. τίς οὖν
οὕτω θρασὺς καὶ παντολμηρὸς
καινοτομεῖν τὴν παράδοσιν καὶ
παραγράφεσθαι τὸ μυστήριον,
καὶ ἀθετεῖν οὕτω τὸν παραδόντα
τε μυήσαντα; ἀθετήσας
τις νόμον Μωϋσέως φησὶν ὁ Α-
πόστολος, χωρὶς οἰκτιρμῶν

ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀ- ))
ποθνήσκει· πόσῳ δοκεῖτε χεί-
ρονος ἀξιωθήσεται τιμωρίας
ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατή-
σας, καὶ τὸ αἷμα τῆς διαθήκης
κοινὸν ἡγησάμενος καὶ τὸ πνεῦ-
μα τῆς χάριτος καθυβρίσας;
ἀλλὰ τίς ὁ καταπατῶν τὸν υἱ-
ὸν τοῦ θεοῦ, καὶ ἐντάλματα τὰ εἰρή-
μενα κατηγορούμενος; ἢ δῆ-
λον, ὡς ὁ τὸ σῶμα αὐτοῦ διὰ
τῆς εὐχαριστίας ἀθετῶν καὶ μὴ
ἀποδεχόμενος, καὶ τὴν τοῦ ἀλη-
θοῦς σώματος παράδοσίν τε
καὶ ἔνταλμα ἐξουθενίζων; τοῦ-
το ἐστὶ τὸ σῶμά μου εἰπόντος
καὶ τοῦτο ἐστὶ τὸ αἷμά μου. καὶ
ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ
υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε

αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζω-
ὴν ἐν ἑαυτοῖς. τί διστάζεις. τί
τῷ παντοδυνάμῳ ἀδυναμί-
αν περιάπτεις. οὐκ αὐτός ἐστιν
ὁ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάν-
τα παραγαγών; ὁ εἷς τῆς τρισυ-
ποστάτου θεότητος, ἐπ' ἐσχάτων
τῶν χρόνων σαρκωθείς, καὶ ὁ
τὸν ἄρτον εἰς τὸ αὐτοῦ σῶμα
μεταβάλλεσθαι προστεταχώς;
τί πάλιν ζητεῖς αἰτίαν καὶ τά-
ξιν φύσεως ἐν τῇ τοῦ ἄρτου μετα-
βολῆς εἰς τὸ τοῦ Χριστοῦ σῶμα,
καὶ τοῦ ὕδατος καὶ οἴνου εἰς αἷμα,
ἐπεὶ ὑπὲρ φύσιν καὶ λόγον καὶ νοῦν
καὶ ἔννοιαν ἐκ παρθένου ἐτέχθη;
ἀπιστήσεις ἄρα καὶ τὴν ἐκ νε-
κρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐ-
ρανοὺς αὐτοῦ ἀνάληψιν καὶ τἆλ-
λα τοῦ Χριστοῦ θαύματα, ὑπὲρ

φύσιν καὶ νοῦν καὶ ἔννοιαν ὄντα;
τοῦτο σοι γίνεται, ὅτι τὸν Χριστὸν
ὡς θεὸν ἀληθινὸν καὶ υἱὸν τοῦ θεοῦ
ὁμολογεῖς, ἀλλ' ἀρειανίζεις
μᾶλλον δὲ ἰουδαΐζεις. ἀλλ' ἴ=
σως πάλιν ἀμφιβάλλεις καὶ
ἀπιστεῖς, ὅτι οὐχ ὁρᾷς σάρκα
καὶ αἷμα, ἀλλ' ἄρτον καὶ οἶνον.
περὶ οὗ εἰδέναι σε χρὴ ἀχά=
ριστε καὶ ἀγνώμων περὶ τὸν ε=
ὐεργέτην, ὅτι ὁ τὰ πάντα εἰ=
δὼς θεὸς φιλανθρωπότατος
ὢν οἰκονομικῶς τοῦτο ἐποί=
ησε, τῇ ἀνθρωπίνῃ ἀσθε=
νείᾳ συγκαταβαίνων, ἵνα
μὴ ἀποστρέφωνται οἱ πολλοὶ
τὸν ἀρραβῶνα τῆς αἰωνίου ζω=
ῆς καὶ δυσχεραίνωσι, σάρκα
καὶ αἷμα βλέποντες. διὸ διὰ

τῶν

σαν ἢ θετέρων τῆς φύσεως τοῦτο
γίνεσθαι ὅπερ βουλήθη, σαν ζεύξας
αὐτοῖς τῶ αὐτοῦ θεότητα. τοῦ-
το ἐστὶ τὸ σῶμα μου, καὶ τοῦτο
ἐστὶ τὸ αἷμα μου εἰπών. καὶ
λάβετε, φάγετε, καὶ πίετε ἐξ
αὐτοῦ πάντες εἰς ἄφεσιν ἁ-
μαρτιῶν. καὶ πάλιν. ὁ ἄρτος ὃν
ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν,
ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς. καὶ ἐὰν μὴ φάγητε τὴν
σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου
καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχε-
τε ζωὴν ἐν ἑαυτοῖς. τοῦτο ποιεῖτε
εἰς τὴν ἐμὴν ἀνάμνησιν. διὰ
τοῦτο αὐτῷ πιστεύοντες, οὕτω
προσφέρομεν ἄρτον τέλειον ζῶν-
τα, εἶναι σῶμα Χριστοῦ τέλειον
καὶ μετὰ τὸ πάθος διαμεμενηκός

καὶ ὁλόκληρον (οὐδὲ γὰρ ὅσον αὐτῶν συνετήρει) καὶ τῆς θείας ζωῆς ἀχώριστον. τοιοῦτον οἷον αὐτὸς ὁ πρῶτος ἡμῶν καὶ μέγας ἀρχιερεὺς καὶ θύτης καὶ θῦμα τοῖς οἰκείοις μύσταις παρέδωκεν, αὐτοί τε πάλιν οἱ ἀπὸ ἀρχῆς αὐτόπται τοῦ λόγου καὶ ὑπηρέται τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, παρέδοσαν. πάντες μὲν τῇ ἐν Ἱεροσολύμοις (ὅπου καὶ ὁ θεῖος Ἰάκωβος ὁ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως ἀδελφὸς καὶ διάδοχος τὴν μυστικὴν καὶ ἀναίμακτον λειτουργίαν ἐξέθετο) Πέτρος δὲ καὶ Παῦλος.

τῇ ἐν Ἀντιοχείᾳ. Παῦλος δὲ ἰδίως καὶ πάσῃ τῇ οἰκουμένῃ. # Μάρκος δὲ, τῇ ἐν Ἀλεξανδρείᾳ. Ἰωάννης δὲ καὶ Ἀνδρέας τῇ ἐν Ἀσίᾳ τε καὶ Εὐρώπῃ, καὶ πάντες τῇ πανταχοῦ ἐκκλησίᾳ διὰ τοῦ συγγραφέντος τῷ ἱερῷ Κλήμεντι λειτουργίας παραδεδώκασιν. ἐν ᾗ ταῦτα οὕτω ῥητῶς κεῖται. μεμνημένοι σοῦ, ὧν δι' ἡμᾶς ὑπέμεινας, εὐχαριστοῦμέν σοι Θεὲ παντοκράτωρ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσί, καὶ ἀναβλέψας πρὸς σὲ τὸν Θεὸν αὐτοῦ καὶ πατέρα

καὶ κλάσας, ἔδωκεν ἡμῖν εἰπών.
λάβετε ἐξ αὐτοῦ φάγετε, τοῦτο
ἐστὶ τὸ σῶμα μου τὸ περὶ πολ-
λῶν θρυπτόμενον εἰς ἄφεσιν
ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ πο-
τήριον κεράσας ἐξ οἴνου, καὶ ὕ-
δατος καὶ ἁγιάσας, ἔδωκεν ἡ-
μῖν λέγων, πίετε ἐξ αὐτοῦ πάν-
τες, τοῦτό ἐστι τὸ αἷμα μου τὸ
περὶ πολλῶν ἐκχυνόμενον, εἰς
ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποι-
εῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.
μεμνημένοι τοίνυν τοῦ πάθους
αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστά-
σεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανό-
δου καὶ τῆς μελλούσης αὐτοῦ δευ-
τέρας παρουσίας, ἐν ᾗ ἔρχεται
κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀ-
ποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα

αὐτοῦ, προσφέρομέν σοι τῷ βα-
σιλεῖ καὶ θεῷ, κατὰ τὴν αὐτοῦ
διάταξιν τὸν ἄρτον τοῦτον, καὶ τὸ
ποτήριον τοῦτο, εὐχαριστοῦντές
σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίω-
σας ἡμᾶς ἑστάναι ἐνώπιόν
σου καὶ ἱερατεύειν σοι. καὶ ἀξιοῦ-
μέν σε, ὅπως εὐμενῶς ἐπι-
βλέψοις ἐπὶ τὰ προκείμενα
δῶρα. ταῦτα ἐνώπιόν σου, σὺ
ὁ ἀνενδεὴς θεὸς καὶ εὐδοκήσοις
ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ χριστοῦ
σου. καὶ καταπέμψαις τὸ ἅγι-
όν σου πνεῦμα ἐπὶ τὴν θυσί-
αν ταύτην, τὸν μάρτυρα τῶν
παθημάτων τοῦ κυρίου Ἰησοῦ.
ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦ-
τον, σῶμα τοῦ χριστοῦ σου. καὶ
τὸ ποτήριον τοῦτο, αἷμα τοῦ
χριστοῦ σου. καὶ πάλιν ὁ

μέγας Παῦλος· ἐγὼ παρέλαβον
ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα
ὑμῖν· ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ
νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρ-
τον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ
εἶπε λάβετε, φάγετε, τοῦτό μου
ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν
κλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν
ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ
ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ
τὸ ποτήριον τοῦτο πίνητε, τὸν
θάνατον τοῦ κυρίου καταγγέλλε-
τε ἄχρις οὗ ἂν ἔλθῃ. εἰ δὲ
ὑπονοεῖς τοῦτο τὸ παρ' ἡμῶν
ἐπιτελούμενον ἔλαττον εἶναι
ἐ ἐκείνου, οὐκ οἶδας ὅτι ὁ Χριστὸς
καὶ νῦν ἐνεργεῖ καὶ νῦν πάρεστιν.
ἔσομαι γὰρ μεθ' ὑμῶν πάσας ἡμέ-
ρας ἀπάσας, ἄχρι τῆς συντελείας

τοῦ αἰῶνος ἐπηγγείλατο. τοῦτο
τὸ μυστήριον πάλιν ὑπερεκπλητ-
τόμενος ὁ θεῖος Ἀπόστολος,
μετὰ φόβου θεοῦ καὶ πίστεως ἀξί-
ως ἡμᾶς αὐτοῦ μετέχειν παρα-
κελεύεται καὶ τιμωρίαις τοῦ παρα-
βαίνοντος ἀφορίζεται, ὅς ἂν
ἐσθίῃ λέγων τὸν ἄρτον τοῦτον,
ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου
ἀναξίως ἔνοχος ἔσται τοῦ σώματος,
καὶ τοῦ αἵματος τοῦ κυρίου. ταυ-
τὸν δὲ εἰπεῖν κατὰ τὸν θεῖον Χρυ-
σόστομον, καθάπερ παρέδωκε
μὲν αὐτὸν Ἰούδας, ἐπαρῴνησαν
δὲ εἰς αὐτὸν Ἰουδαῖοι, οὕτως ἀτι-
μάζουσιν αὐτὸν οἱ τὸ παναγι-
ον αὐτοῦ σῶμα ἀναξίως τῷ
στόματι δεχόμενοι καὶ ἐναγεῖ

προσφέροντες σώματι, διὸ φησί,
δοκιμαζέτω ἄνθρωπος ἑαυτὸν, οὐχ
ἕτερος τὸν ἕτερον, τοῦτο γὰρ
κρῖναι ἐστὶν, ἀλλὰ πρῶτον
ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ
τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ
ποτηρίου πινέτω. ὁ γὰρ ἐσθί-
ων καὶ πίνων ἀναξίως, κρί-
μα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ
διακρίνων, τουτέστιν, ἐξετά-
ζων καὶ ἐννοῶν τὸ σῶμα τοῦ
κυρίου προκείμενον. εἰ δὲ ὁ
καθ᾽ ἑαυτὸν ἐν τινι τῶν ἀν-
θρωπίνων παθῶν ὀλισθαί-
νων καὶ προσιὼν ἀδιακρίτως
ὡς ἀναξίως μετέχων, τοσαύ-
της ἀξιοῦται τῆς κατακρίσεως,
ὁ περὶ αὐτὴν τὴν ἱερουργίαν

ἐξαμαρτάνων, καὶ ἀφαιρέσεως αὐτὸ
τὸ κυριακὸν καθυβρίζων σῶ-
μα, καὶ ἀπαρνούμενος τήν τε
παράδοσιν ἀθετῶν καὶ τὸν πα-
ραδεδωκότα καταπατῶν, τί-
νος ἂν εἴη, καὶ πόσῳ μᾶλλον
χείρονος τε καὶ μείζονος ἄξι-
ος κατηγορίας καὶ τιμωρίας;
ἆρ' οὐ φρίκης γέμει τὰ εἰρη-
μένα; ἆρ' οὐχ ὑπολέλειπται τις
ὑπερβολὴ τῷ τῆς καινοτομίας
καὶ παραβάσεως καὶ ἀθεΐας
τολμήματι; Ἀλλὰ ῥῦσαι κύ-
ριε διὰ τοῦ ἐλέους σου τῆς τοι-
αύτης ἀπάτης τε καὶ παραφροσύ-
νης πάντας τοὺς μὴ ὀρθῶς
ὁμολογοῦντας τὸν ὑπὲρ ἡμῶν

ἱερουργούμενον ἄρτον καὶ οἶ-
νον σῶμα τέλειον καὶ
αἷμα τίμιον εἶναι
τοῦ Χριστοῦ σου.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

Τοῦ ἐν ἁγίοις πατρὸς ἡ-
μῶν Γρηγορίου Ἀρχιεπισ-
κόπου Νύσσης.

Ὅτι ὁ ἁγιαζόμενος ἄρτος
εἰς σῶμα τοῦ θεοῦ λόγου
μεταποιεῖται. καὶ ὅτι ἐπά-
ναγκες τῇ ἀνθρωπείᾳ
φύσει αὐτοῦ μεταλαμβάνειν.

Ὥσπερ οἱ δηλητήριον δι' ἐπι-
βουλῆς λαβόντες ἄλλῳ φαρ-
μάκῳ τὴν φθοροποιὸν δύνα-
μιν ἔσβεσαν, χρὴ δὲ καθ' ὁμοι-
ότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλε-
ξιτήριον ἐντὸς τῶν ἀνθρωπί-
νων

γίνεσθαι σπλάγχνων, ὡς ἂν δι'
ἐκείνων εἰς ἅπαν καταμερισ=
θῇ τὸ σῶμα ἡ τοῦ βοηθοῦν=
τος δύναμις, ἐπεὶ τοίνυν τοῦ διαλύ=
οντος τὴν φύσιν ἡμῶν ἀπογευ=
σάμενοι, πάλιν ἀναγκαίως καὶ
τοῦ συνάγοντος τὸ διαλελυμέ=
νον ἐπεδεήθημεν. ὡς ἂν ἐν
ἡμῖν γενόμενον τὸ τοιοῦτον
ἀλεξητήριον, τὴν προεντεθεῖ=
σαν τῷ σώματι τοῦ δηλητηρίου
βλάβην διὰ τῆς οἰκείας ἀντιπα=
θείας ἀπώσοιτο. τί οὖν ἐστι
τοῦτο; οὐδὲν ἕτερον, ἢ ἐκεῖ=
νο τὸ σῶμα, ὃ τοῦ τε θανάτου
κρεῖττον ἐδείχθη, καὶ τῆς ζωῆς ἡ=
μῖν προκατήρξατο. καθάπερ
γὰρ μικρὰ ζύμη, καθώς φησιν

ὁ Ἀπόστολος, ὅλον τὸ φύραμα
πρὸς ἑαυτὴν ἐξομοιοῖ, οὕτω τὸ
ἀθανατισθὲν ὑπὸ τοῦ Θεοῦ σῶ=
μα, ἐν τῷ ἡμετέρῳ γενόμε=
νον, ὅλον πρὸς ἑαυτὸ μεταποι=
εῖ τε καὶ μετατίθησιν. ὡς γὰρ
τῷ φθοροποιῷ πρὸς τὸ ὑγιαῖνον
ἀναμιχθέντι ἅπαν τὸ ἀνακρα=
θὲν συνηχρειώθη, οὕτω καὶ τὸ ἀ=
θάνατον σῶμα ἐν τῷ ἀναλα=
βόντι αὐτὸ γενόμενον, πρὸς
τὴν ἑαυτοῦ φύσιν τὸ πᾶν μετε=
ποίησεν. ἀλλὰ μὴν οὐκ ἔστιν
ἄλλως ἐντός τι γενέσθαι τοῦ
σώματος, εἰ μὴ διὰ βρώσεως
ἢ πόσεως τοῖς σπλάγχνοις κατα
μιγνύμενον. οὐκοῦν ἐπάναγκες

κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον
τὴν ζωοποιὸν δύναμιν τῷ σώμα-
τι δέξασθαι. μόνου δὲ τοῦ θεοδό-
χου σώματος ἐκείνου, ταύτην
δεξαμένου τὴν χάριν. ἄλλως
δὲ δειχθέντος μὴ εἶναι δυνατὸν
ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέ-
τερον σῶμα εἰ μὴ διὰ τῆς πρὸς
τὸ ἀθάνατον κοινωνίας, ἐν με-
τουσίᾳ τῆς ἀφθαρσίας γενόμε-
νον, σκοπῆσαι προσήκει, πῶς
ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο
σῶμα, ταῖς τοσαύταις τῶν πιστῶν
μυριάσι κατὰ πᾶσαν τὴν οἰκου-
μένην εἰσαεὶ καταμεριζόμε-
νον ὅλον ἑκάστου διὰ τοῦ μέ-
ρους γίνεσθαι. καὶ αὐτὸ μένειν
ἐφ' ἑαυτοῦ ὅλον. οὐκοῦν ὡς ἂν

πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις
βλέπουσα μηδεμίαν ἀμφιβο=
λίαν περὶ τοῦ προκειμένου νοή=
ματος ἔχοι, μικρόν τι προσήκει
παρασχολῆσαι τὸν λόγον εἰς τὴν
φυσιολογίαν τοῦ σώματος. τίς
γὰρ οὐκ οἶδεν ὅτι ἡ τοῦ σώμα=
τος ἡμῶν φύσις αὐτὴ καθ' ἑ=
αυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει,
ζωὴν οὐκ ἔχει, ἀλλὰ διὰ τῆς ἐπιῤ=
ῥεούσης αὐτῇ δυνάμεως συν=
έχει τε ἑαυτὴν καὶ ἐν τῷ εἶναι
μένει. ἀπαύστως κινήσει τό, τε
λεῖπον πρὸς ἑαυτὴν ἐφελκομέ=
νη καὶ τὸ περιττεῦον ἀποθουμέ=
νη. ἡ δὲ δύναμις αὕτη, τροφὴ
καὶ ἔστι καὶ λέγεται. ἔστι δέ, οὐχ
ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις

σώμασιν, ἀλλὰ τίς κατάλληλος παρὰ τοῦ τὴν φύσιν οἰκονομοῦντος ἀποκεκλήρωται. τὰ μὲν γὰρ τῶν ζώων ῥιζορυχοῦντα τρέφεται. ἑτέροις δὲ ἡ πόα, τρόφιμος. τινῶν δὲ τροφὴ, σάρκες εἰσίν. ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον, ἄρτος. καὶ εἰς τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν πότον γίνεται, οὐκ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ' οἴνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ ἐν ἡμῖν θερμοῦ συμμαχίαν. οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων, δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει. ἐν ἐμοὶ γὰρ ἐκεῖνα γινόμενα, αἷμα καὶ σῶμα γίνεται καταλλήλως

διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως
πρὸς τὸ τοῦ σώματος εἶδος
τῆς τροφῆς μεθισταμένης.
τούτων ἡμῖν τοῦτον διευκρι=
νηθέντων τὸν τρόπον, ἐπα=
νακτέον πάλιν πρὸς τὰ προ=
κείμενα τὴν* διάνοιαν. ἐζητεῖ= *ν
το γὰρ πῶς τὸ ἓν ἐκεῖνο σῶ=
μα τοῦ Χριστοῦ πᾶσαν ζωοποι=
εῖ τὴν τῶν ἀνθρώπων φύσιν,
ἐν ὅσοις ἡ πίστις ἐστὶ, πρὸς πάν=
τας μεριζόμενον καὶ αὐτὸ οὐ μει=
ούμενον. τάχα τοίνυν ἐντὸς
τοῦ εἰκότος λόγου γινόμεθα.
εἰ γὰρ παντὸς σώματος ἡ ὑ=
πόστασις ἐκ τῆς τροφῆς γίνεται,
αὕτη δὲ βρῶσις καὶ πόσις ἐστίν.
ἔστι δὲ ἐν μὲν τῇ βρώσει, ἄρτος.

ἐν δὲ τῇ πόσει ὕδωρ ἐφηδυσμένον τῷ οἴνῳ. ὁ δὲ τοῦ θεοῦ λόγος, τῇ ἀνθρωπίνῃ συνανεκράθη φύσει. καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος, οὐκ ἄλλην τινὰ παρακαινοτομήσας τῇ φύσει τὴν σύστασιν. ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ᾽ ἑαυτὸν σώματι τὴν διαμονήν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν. ἡ δὲ βρῶσις ἄρτος ἦν ὥσπερ ἐφ᾽ ἡμῶν καθὼς ἤδη εἴρηται. ὁ τὸν ἄρτον ἰδὼν τρόπον τινά, τὸ σῶμα τὸ ἀνθρώπινον βλέπει. ὅτι ἐν τούτῳ ἐκεῖνος γενόμενος, τοῦτο γίνεται. οὕτω κ᾽

ακείνῳ

τὸ θεοδόχον σῶμα τὴν τροφὴν
τοῦ ἄρτου παραδεξάμενον, λόγῳ
τινὶ ταυτὸν ἦν ἐκείνῳ, τῆς τρο:
φῆς καθὼς εἴρηται, πρὸς τὴν
τοῦ σώματος φύσιν μεθισταμέ:
νης. τὸ γὰρ πάντων ἴδιον καὶ
ἐπὶ ἐκείνης τῆς σαρκὸς ὡμολο:
γήθη· ὅτι ἄρτῳ τὸ σῶμα κἀ
κεῖνο διεκρατεῖτο. τὸ δὲ σῶμα
τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς
τὴν θεϊκὴν ἀξίαν μετεποιήθη.
Καλῶς οὖν καὶ νῦν τὸν τῷ λό:
γῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρ:
τον, εἰς σῶμα τοῦ θεοῦ λόγου
μεταποιεῖσθαι πιστεύομεν. καὶ
γὰρ ἐκεῖνο τὸ σῶμα, ἄρτος
τῇ δυνάμει ἦν. ἡγιάσθη δὲ
τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ
σκηνώσαντος ἐν τῇ σαρκί.

. οὐκοῦν ὁ δὴ ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θεῖαν μετέστη δύναμιν διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται. ἐκεῖ τε γὰρ ἡ τοῦ λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα, ὡς ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν. καὶ τρόπον τινὰ καὶ αὐτὸ, ἄρτος ἦν. ἐνταῦθα τε ὡσαύτως ὁ ἄρτος καθὼς φησιν ὁ Ἀπόστολος ἁγιάζεται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ λόγου, ἀλλ᾽ εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου ποιούμενος καθὼς εἴρηται ὑπὸ τοῦ λόγου, ὅτι τοῦτο ἐστὶ τὸ σῶμα μου. πᾶσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης, οὐ γὰρ δίχα τῆς πρὸς τοῦτο

συζυγίας τὸ ἐν ἡμῖν γεῶδες
πρὸς τὸ ζῆν δυναμοῖτο. ὥσπερ
διὰ τῶν στερρῶν τε καὶ ἀντιτύ=
πων τροφῶν τὸ στερρὸν τοῦ σώ=
ματος ὑποστηρίζομεν, τὸν αὐ=
τὸν τρόπον καὶ τῷ ὑγρῷ τὴν
προσθήκην ἐκ τῆς ὁμογενοῦς ποι=
ούμεθα φύσεως. ὅπερ ἐν ἡμῖν
γενόμενον διὰ τῆς ἀλλοιωτικῆς
δυνάμεως ἐξαιματοῦται. καὶ μά=
λιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι
τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερ=
μὸν μεταποίησιν. ἐπεὶ οὖν καὶ
τοῦτο τὸ μέρος ἡ θεοδόχος ἐκεί=
νη σὰρξ πρὸς τὴν σύστασιν ἑαυ=
τῆς παρεδέξατο, ὁ δὲ φανερω=
θεὶς θεὸς διὰ τοῦτο κατέμιξεν
ἑαυτὸν τῇ ἐπικήρῳ φύσει ἵνα

τῇ τῆς θεότητος κοινωνίᾳ συνα-
ποθεωθῇ τὸ ἀνθρώπινον, τού-
του χάριν πᾶσι πεπιστευκόσι
τῇ οἰκονομίᾳ τῆς χάριτος, ἑ-
αυτὸν ἐνσπείρει διὰ τῆς σαρκὸς
ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρ-
του ἐστὶ τοῖς σώμασι τῶν πεπιστευ-
κότων κατακιρνάμενος, ὡς
ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑ-
νώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφ-
θαρσίας μέτοχος γένοιτο.
ταῦτα δὲ δίδωσι τῇ τῆς εὐ-
λογίας δυνάμει πρὸς ἐκεῖ-
νο μεταστοιχειώσας τῶν
φαινομένων τὴν φύσιν.

Ταῦτα ἀπὸ τοῦ κατηχητι-
κοῦ τοῦ Νύσσης παρεκ-
βέβληται.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

(5)



# Τοῦ Μακαρίου Σαμωνᾶ Ἀρχιεπισκόπου Γάζης.

Διάλεξις πρὸς Ἀχμὲδ τὸν σαρακηνὸν, ἀποδεικνοῦσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργημένον ἄρτον καὶ οἶνον σῶμα καὶ αἷμα ἀληθὲς καὶ ὁλόκληρον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐτυγχάνομεν ποτὲ πορευόμενοι τὴν εἰς Ἐμεσσὰν μετὰ πολλῶν ἄλλων, καὶ ἐσυνήθει διαλέξει τὴν καθ' ὁδὸν παραμύθιον οὖσιν χρώμενοι περὶ διαφόρων ὑποθέσεων, πέραντου

δέοντος ἐν συνουσίᾳ διηλθόμεν
... ἐξ ὧν καὶ τις σοφὸς ἀνὴρ
καὶ λόγιος Σαρακηνὸς τὸ γένος,
εἰς τὴν τῶν μυστηρίων διήγησιν
παπᾶς, ἐρώτησεν ἐμέ, οὑτωσὶ
φάσκων· διατί ὦ ἐπίσκοπε
ὑμᾶς οἱ ἱερεῖς ἐμπαίζετε τοὺς
χριστιανοὺς, τὸν ἐξ ἀλεύρου
σωζόμενον ἄρτον αὐτοῖς κατὰ
βραχὺ μερίζοντες, σῶμα χριστοῦ
ὀνομάζοντες, ἄφεσιν ἁμαρτι-
ῶν παρέχων αὐτοὺ τοῖς μετα-
λαμβάνουσι δυνάμενον δια-
βεβαιοῦντες. ἆρα ἢ ὑμεῖς αὐτοὺς
ἐμπαίζετε, ἢ τούτων ἄρχετε.
Σαμωνᾶς. καὶ τί λέγεις ἆρ-
τος οὐ γίνεται θεοῦ σῶμα;
Ἀχμεδ. ἑκάτερον ἀπορῶ
μέρος ἀποκρίνεσθαι τῆς ἀντι-
φάσεως. Σαμωνᾶς. τοσοῦ
τον

σε ἡ μήτηρ σου γεγέννηκεν; Ἀχμεδ. οὐχί. Σαμωνᾶς. ἀλλὰ πόσον. Ἀχμεδ. σμικρόν. Σαμωνᾶς. καὶ τίς σε ἐμεγέθυνε. ἀχμεδ. θεοῦ θέλοντος ἡ τροφή. Σαμω. οὐκοῦν ἄρτος σοι γέγονε σῶμα. ἀχμ. σύμφημι. Σαμω. καὶ πῶς σοι ἄρτος γέγονε σῶμα. Ἀχμ. τὸν τρόπον ἀγνοῶ. Σαμω. διὰ τοῦ λαιμοῦ ἡ βρῶσις καὶ ἡ πόσις εἰς τὸν στόμαχον κατέρχεται ὡς εἰς χύτραν. παρακειμένου δὲ τοῦ στομάχου θερμοῦ ὄντος τοῦ ἥπατος ἕψεται ἡ τροφὴ καὶ χυλοῦται, καὶ τὸ μὲν παχυμερὲς κάτω χωρεῖ, τὸ δὲ λεπτομερὲς κεχυλωμένον ἐπιπολάζει.

αἷς θερμὸν δὲ. ὑπάρχον τὸ ἧπαρ
καὶ σύμφωδες, ἀναστᾶ καὶ αἱ-
ματοῖ. καὶ ὡς δι' ὀχετῶν ἅ-
παν τὸ σῶμα διὰ τῶν φλε-
βῶν καταρδεύει, μερίζοντι
χυλωθεῖσαν ἐν τῷ στομάχῳ
τροφὴν, καὶ ἐν αὐτῷ αἱματω-
θεῖσαν, ἑκάστῳ τῶν μελῶν συμ-
μεταβαλλομένων, οἷον ἐστὶν
ἐκεῖνο, ὀστέοις, ὀστοῦ. μυελῷ,
μυελόν. νεύροις, νεῦρον. ὀφθαλ-
μοῖς, ὀφθαλμοῦς. θριξί, θρίκα.
δέρματι, δέρμα. ὄνυξιν, ὄνυκα.
καὶ οὕτω γίνεται ἡ τοῦ βρέφους
εἰς ἄνδρα αὔξησις. τοῦ ἄρτου
αὐτοῦ γεγονότος σῶμα, καὶ τοῦ
πόσεως αἷμα. Ἀχμ. ἔοικε.
Ξαμω. τρόπον τὸν αὐτὸν
καὶ τὸ ἡμέτερον νόει μοι γίνεσθαι

μυστήριον. τίθησι γὰρ ἐπὶ τὴν
ἁγίαν τράπεζαν ὁ ἱερεὺς τὸν
ἄρτον, ὁμοίως καὶ τὸν οἶνον καὶ
δεόμενος, ἐπικλήσει ἁγίᾳ τὸ
πνεῦμα τὸ ἅγιον κάτεισι, καὶ
ἐπιφοιτᾷ τοῖς προκειμένοις.
καὶ τῷ πυρὶ τῆς αὐτοῦ θεότητος
εἰς σῶμα καὶ αἷμα Χριστοῦ, τὸν
ἄρτον, καὶ τὸν οἶνον μεταβάλ-
λει οὐχ ἧττον ἢ τὸ ἧπαρ τὴν
τροφὴν εἰς τὸ αἷμα τινὸς ἀνθρώ-
που. ἢ οὐ δίδως, ὦ τὰν δύνασθαι
τὸ πανάγιον τοῦ θεοῦ πνεῦμα
ὅπερ τὸ σὸν δύναται ἧπαρ ἐκτε-
λεῖν. Ἀχμ. δίδωμι. Σαμ.
τούτου τοίνυν τοῦ σώματος καὶ
αἵματος μεταλαμβάνομεν εἰς
ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν

αἰώνιον, τοῦ Δεσπότου ἡμῶν εἰρηκότος, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον. τοῖς δὲ δυσπαθῶς ἔχουσι πρὸς τὸ φαινόμενον ὡς μὴ βλέπουσι τὸ συμβαῖνον τῇ ἐπαγγελίᾳ τῶν σωματικῶς ἐνεργουμένων (ἄρτος γὰρ καὶ οἶνος φαίνεται) πρὸς ἐπιδεῖ καὶ τοῖς λέγουσι πῶς ἔστι δυνατὸν εὐχῆς καὶ δυνάμεως θείας ἐπίκλησιν ἐπὶ τοῦ ἄρτου γενομένην μεταβάλλειν αὐτὸν εἰς σάρκα ζῶσαν, ἁπλοῦς ἐξ ἀρχῆς λόγος. ἂν περιαλήσομεν γάρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκείνου τὸ ὑγρὸν γίνεται, τὸ εἰς ἀφορμὴν

τῆς συστάσεως τοῦ ζώου καταβαλλόμενον. ἀλλὰ μὴν οὐδὲ ὁ ἐπ' ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ τινὶ τὸ πιθανὸν ἐξευρίσκων· τὶ γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου, πρὸς τὴν ἐκείνου θεωρουμένην ποιότητα συγκρινόμενος. ἄνθρωπος μὲν γὰρ, λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστιν. ἐκεῖνο δὲ ἐν ὑγρῷ τινὶ θεωρεῖται ποιότητι καὶ πλέον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου, καταλαμβάνει ἡ ἔννοια. ἀλλὰ θεία δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται. ἧς μὴ συμπαρούσης, ἀκίνητον ἐστὶ καὶ ἀνενέργητον. ὡς οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις πρὸς ἄνθρωπον

φύσιν μεταποιεῖ τὸ φαινόμε-
νον τί ἐλάττης ἂν εἴη ἀγνω-
μοσύνης, ἐκεῖ τοσαύτην θεοῦ
προσμαρτυροῦντας δύναμιν, ἀ-
τονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖ-
ον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν
τοῦ θελήματος. Αχμ. ἀλλὰ
τί κοινὸν ἄρτῳ καὶ σαρκί. Σα-
μω. καὶ τί κοινὸν λέξον μοι, ὑ-
γρότητι καὶ εἰκόνι θεοῦ. ἀλλ' ὥσ-
περ οὐδὲν ἐκεῖ τὸ παράδοξον,
εἰ θεοῦ βουλομένου, πρὸς τὸ τι-
μιώτατον ζῷον τὸ ὑγρὸν μετα-
βαίνει, οὕτω καὶ ἐπὶ τούτου τὸ
ἴσον πιστευτέον, μηδὲν εἶναι θαυ-
μαστὸν εἰ θείας δυνάμεως παρουσίαι
πρὸς ἀφθαρσίαν μετασκευάζεται
ὁ ἄρτος καὶ εἰς σῶμα Χριστοῦ
μεταβάλλεται: Αχμ. ἀλλ' ὁ

Χριστὸς ὅτι τοῦτο τοῖς μαθηταῖς
αὐτοῦ παρέδωκε, οὔτ' αὐτὸς πολλὰς
εὐχὰς εἶπε, ἀλλ' ὑμῖν οὕτω προ-
έτρεψε λέγειν. πῶς τοίνυν ὑ-
μεῖς οὐχ οὕτω ποιεῖτε, ἀλλ' εὐ-
χῶν πολλῶν δεῖσθε. Σαμω-
ὁ Χριστὸς καθὸ θεὸς κύριος
ὢν καὶ τοῦ ἑαυτοῦ σώματος καὶ
τῆς ψυχῆς, ἧ φησιν αὐτός, ὅτι
ἐξουσίαν ἔχω τὴν ψυχήν μου δοῦ-
ναι, καὶ πάλιν λαβεῖν αὐτήν· καὶ
αὐτὸς φύσει θεὸς ὢν ἡγίασε
εὐθὺς τῇ αὐτοῦ θείᾳ δυνάμει
καὶ χάριτι τότε τὸν ἄρτον, τοῦτο
ἐστὶ τὸ σῶμά μου εἰπών, ἔχων
καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα
ἐν ἑαυτῷ, καὶ οὕτω τὸν ἄρτον
οἰκεῖον σῶμα ἐποίησε, καὶ οὐκ

ἐδεῖτο ἑτέρου τινὸς ὑπερέχοντος
καὶ τὸν ἄρτον ἁγιάζοντος (τὸ γὰρ
ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐ-
λογεῖται) αὐτὸς δὲ ὁ Χριστὸς οὐκ
ἐλάττων ὢν τοῦ πατρὸς καὶ τοῦ
πνεύματος, αὐτεξουσίως ἐποίει
ὅσα ἐβούλετο. ὁ δέ γε παρ' ἡ-
μῖν ἱερεὺς εἰ καὶ τύπον φέρει
Χριστοῦ, ἀλλ' αὐτὸς ἐπὶ παντὶ
τρόπῳ ὑποκείμενος ἁμαρτίαις
καὶ κατεχόμενος (οὐδεὶς γὰρ
ἀναμάρτητος, ὡς τὸ θεῖον λό-
γιον, κἂν μία ὥρα ἐστὶν ἡ ζωὴ
αὐτοῦ, εἰ μὴ μόνος ὁ θεός) διὰ
τοῦτο δέεται πολλῶν εὐχῶν καὶ
πρότερον μὲν ὑπὲρ τῶν οἰκείων
ἀγνοημάτων, ἔπειτα τῶν τοῦ λα-
οῦ, ὥς φησιν ὁ ἀπόστολος Παῦλος.
διὸ καὶ πᾶς ὁ λαὸς περιστάμενος

ἔξω τοῦ ἀδύτου, συμπονεῖ καὶ συμ-
προσεύχεται τῷ ἱερεῖ. δέεται τοί-
νυν ὁ ἱερεὺς τοῦ θεοῦ καὶ πατρὸς
ὡς μέσον θεοῦ καὶ ἀνθρώπων ἱστά-
μενος πρέσβυς, ἵνα μὴ κώλυμα
γένηται τῆς τοῦ παναγίου πνεύ-
ματος ἐπελεύσεως, ἀλλὰ κατα-
πέμψῃ καὶ αὖθις τὸ πανταχοῦ πα-
ρὸν θεῖον καὶ τελεταρχικὸν καὶ ἁ-
γιαστικὸν πνεῦμα (δι' οὗ τὰ πάν-
τα τά τε ἐν οὐρανοῖς, τά τε ἐπὶ
γῆς λεγόμενα ἅγια, τῇ μετοχῇ
τῆς ἁγιαστικῆς αὐτοῦ χάριτος ἁγιά-
ζεται) εἰς τὸ τελεσιουργῆσαι τὸν
πρόκειμενον εἰς θυσίαν ἄρτον καὶ
τὸ ποτήριον, καὶ ποιῆσαι αὐτὰ
αὐτὸ ἐκεῖνο τὸ κυριακὸν σῶμα
καὶ αἷμα τοῦ χριστοῦ. ὁ πατὴρ γὰρ

εὐδόκησε φασὶ τὰ παρ' ἡμῖν
λόγια, καὶ ὁ υἱὸς ἐσκήνωσε, καὶ
ἡ παρθένος ἔτεκε θεὸν ἐναν=
θρωπήσαντα. καὶ τὸ ἅγιον
πνεῦμα συνήργησεν. ὃ καὶ ἐκ
τῶν παρθενικῶν αἱμάτων
μέρος λαβόν, ᾠκοδόμησε
τὸν σωματικὸν ναὸν τοῦ χριστοῦ.
κἀνταῦθεν δηλοῦμεν καὶ τὸ ἀ=
χώριστον καὶ ἰσοδύναμον καὶ ὁ=
μοφυὲς καὶ παντοδύναμον τῆς ἁ=
γίας τριάδος, εἰ καὶ ταῖς ὑποστά=
σεσι διήρηται. καὶ ὅτι ἔνθα ἐστὶ
μία τῶν τριῶν ὑποστάσεων, ἀχω=
ρίστως καὶ αἱ λοιπαὶ δύο τῇ φύ=
σει συνῶσιν, ὡς συνδημιουρ=
γοὶ καὶ τοῦ παντὸς προνοηταί.
Ἀχμ. καλῶς τὰ ἀπόρρητα
διεξῆλθες. ἀλλὰ τί δήποτε

ὁ Χριστὸς τὸ σῶμα αὐτοῦ ἐσθί-
ειν τοῖς εἰς αὐτὸν πιστεύουσι πα-
ρέδωκεν; Σαμιω. ἀρρήτῳ φι-
λανθρωπίᾳ καὶ θαυμαστῇ οἰκο-
νομίᾳ ἕνεκεν. τοῦτο μὲν πρὸς
ἀποτροπὴν τῶν ἐναντίων δυνά-
μεων, τοῦτο δὲ καὶ εἰς περιποίη-
σιν ἡμῶν ψυχῆς ἅμα καὶ σώμα-
τος. ἐπειδὴ οὐκ ἦν δυνατὸν ἔτι
καὶ σωματικῶς ἡμῖν τοῖς ἐπὶ
γῆς τὸν Χριστὸν μέχρι συντελεί-
ας τοῦ αἰῶνος συναναστρέφε-
σθαι, καὶ συνδιάγειν καὶ τὰς παν-
τοίας νόσους ἡμῶν ἑκάστῃ ὥ-
ρᾳ ἰᾶσθαι. διὰ τοῦτο τοίνυν παν-
τοδύναμος ὢν καὶ πολυεύσπλαγ-
χνος καὶ φιλάνθρωπος, ἠβουλή-
θη ἡμᾶς μὴ χωρίζεσθαι ἀπ' αὐ-
τοῦ

ἀλλ' ὡς τέκνα αὐτοῦ σωθῆναι διὰ
τῆς μετοχῆς καὶ κοινωνίας του-
του τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ
ὕδατος (ὡς συνηθεστέρων ὄν-
των τῇ ἡμετέρᾳ φύσει καὶ μὴ
βδελυκτῶν, εἰς σῶμα αὐτοῦ
καὶ αἷμα μεταβαλλομένων
θείᾳ δυνάμει κατὰ τὴν αὐτοῦ
πρόσταξιν. ὃ καὶ εἰς ἄφεσιν
ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰ-
ώνιον, καὶ εἰς φυλακτήριον
ψυχῆς τε καὶ σώματος τοῖς
πίστει ἀξίως μεταλαμβάνουσι
γίνεται. ἐὰν γὰρ μὴ φάγη-
τε ἔφη τὴν σάρκα τοῦ υἱοῦ τοῦ
ἀνθρώπου, καὶ πίνητε αὐτοῦ
τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν
αὐτοῖς. διὸ καὶ ἡμῖν οὕτω παρα-
δοθέν, καὶ φυλάττεσθαι καὶ ἀναμ-
φιβόλως

κἂν ἀναμφιβόλως πιστεύεται,
ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ κατὰ
τὴν τοῦ Παύλου φωνήν. ΑΧΜ:
αὕτη ἄρα ἡ κοινωνία καὶ ἡ θυ=
σία τοῦ σώματος καὶ αἵματος
τοῦ Χριστοῦ ἣν προσφέρουσιν οἱ
ἱερεῖς, σῶμα καὶ αἷμα ἀληθι=
νόν ἐστι Χριστοῦ, ἢ ἀντίτυπος
τοῦ σώματος αὐτοῦ, ὡς ἡ θυ=
σία τοῦ τράγου ἣν Ἰουδαῖοι
προσάγουσι. ΣΑΜΩ. μὴ γέ
νοιτο ἡμᾶς εἰπεῖν ἀντίτυπον
τοῦ σώματος τοῦ Χριστοῦ τὴν
ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρ=
τον, ἢ τύπον ἢ εἰκόνα, ἀλλ'
αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀλη=
θῶς Χριστοῦ τοῦ θεοῦ ἡμῶν
τεθεωμένον μεταλαμβάνο=
μεν, τοῦ σαρκωθέντος καὶ γεν=

θέντος

ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας. οὕτω γὰρ πιστε-
ύομεν, καὶ οὕτως ὁμολογοῦμεν,
κατὰ τὴν φωνὴν αὐτοῦ Χριστοῦ
ὢν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ
δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς
αὐτοῖς τὸν ζωοποιὸν ἄρτον, ἔλεγε,
λάβετε, φάγετε, τοῦτό μου ἐστὶ
τὸ σῶμα. ὡσαύτως καὶ τὸ πο-
τήριον μεταδιδοὺς αὐτοῖς φη-
σί, τοῦτό μου ἐστὶ τὸ αἷμα·
οὐκ εἶπε τοῦτό μου ἐστὶ τὸ ἀντι-
τυπον τοῦ σώματος καὶ τοῦ αἵμα-
τος, ἢ ἡ εἰκών. καὶ ἐν ἑτέροις
δὲ πλείοσι τόποις φαίνεται ὁ
Χριστὸς εἰπών, ὅτι ὁ τρώγων
μου τὴν σάρκα καὶ πίνων μου
τὸ αἷμα ἔχει ζωὴν αἰώνιον.
λοιπὸν αὐτοῦ τοῦ Χριστοῦ μαρτυ-
ροῦντος ὅτι σῶμα αὐτοῦ ἐστὶν

ἀληθῶς καὶ αἷμα, ὅπερ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν, τί δεῖ πλέον περὶ τοῦτο ἀμφιβάλλειν, εἰ θεὸν καὶ υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι πιστεύομεν. εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος τὸν κόσμον πεποίηκε καὶ ὁ αὐτοῦ λόγος ἀληθὴς ἐστὶ καὶ ζῶν καὶ ἐνεργὴς καὶ παντοδύναμος, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν, οὐ δύναται τὸν ἄρτον εἰς τὸ ἴδιον αὐτοῦ σῶμα μεταποιῆσαι καὶ τὴν τοῦ ὕδατος καὶ οἴνου κρᾶσιν εἰς τὸ ἴδιον αἷμα; ὡς γὰρ εἶπεν ἐν τῇ ἀρχῇ, βλαστησάτω ἡ γῆ χλοάζουσαν βοτάνην καὶ μέχρι τοῦ νῦν ὄντος αὐτοῦ βλαστάνει βοτάνας ἡ γῆ

ὑπερφανιζομένη καὶ βιαζομένη
ὑπὸ τῆς κελεύσεως τοῦ θεοῦ, οὕτως
εἶπεν ὁ θεὸς, τοῦτο ἐστὶ τὸ αἷμα
μου, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐ-
μὴν ἀνάμνησιν. καὶ ταύτῃ τῇ
τοῦ παντοδυνάμου προστάξει
μέχρι τῆς αὐτοῦ δευτέρας πα-
ρουσίας, γίνεται, θείᾳ ἐπι-
πνοίᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁ-
γίου πνεύματος. ΑΧΜ: ἀλ-
λὰ διατί μᾶλλον ὁ χριστὸς
ὑπὸ τῷ εἴδει τοῦ ἄρτου καὶ τοῦ
οἴνου καὶ ὕδατος, τοῦ σώματος
αὐτοῦ κεκρυμμένου καὶ τοῦ αἵμα-
τος μεταλαμβάνειν παρέδωκεν,
ἢ ὑπὸ ἄλλῃ ὕλῃ. ΣΑΜΩ.
καὶ ἤδη εἴρηκα περὶ τούτου καὶ
πάλιν λέξω. θεοῦ συγκατα-
βάσει καὶ ἀφάτῳ προνοίᾳ, ἀφέ-
σει τε καὶ ἀξιώσει εἰς ἡμᾶς τοῦτο
ἐγένετο

ἵνα τοῖς τῆς φύσεως συνήθεσιν, διὰ
τὸ φαγεῖν καὶ πιεῖν, διαπεραῶμεν
καὶ ἀναφερώμεθα εἰς τὰ ὑπὲρ
φύσιν, φημὶ δὴ, εἰς τὰ θεῖα
μυστήρια. ἀλλ' οὖν ἐν πᾶσι τοῖς
ἄλλοις βρώμασιν, ὁ ἄρτος τὴν
πρώτην εἴληφε τάξιν, ὁμοίως
καὶ ἐν τοῖς ποτοῖς τὸ ὕδωρ καὶ
ὁ οἶνος πρωτερεύει. τούτοις
τοίνυν τῷ ἄρτῳ φημὶ καὶ
τῷ οἴνῳ καὶ ὕδατι ἡμῖν
ἐθισθεῖσι, συνεζεύξας ὁ κύρι-
ος τὴν αὐτοῦ θεότητα τῇ δυ-
νάμει τοῦ ῥήματος αὐτοῦ,
ἡ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος
εἰς τὸ εἶναι παρήγαγεν, εἰς τὸ
ἴδιον αὐτοῦ σῶμα καὶ αἷμα
αὐτὰ μεταβάλλει. ἄρτος δ' ὅ-
μως καὶ οἶνος παραλαμβάνεται
καὶ φαίνεται. καὶ τοῦτο τῷ οἰκονο
μικῷ

προσώπῳ καὶ συγκαταβατικῇ δωρε-
ᾷ, ἀφαιρεῖται ἡμᾶς τὴν φρίκην
καὶ τὸν φόβον, ὃν φρίττοντες κα-
τείχομεν ἄν, εἰ τὴν αὐτοσάρ-
κα ἐν τῷ αὐτῷ ἰδίως εἴδει, καὶ
τὸ αἷμα ἐκχεόμενον ἡμᾶς λαμ-
βάνειν. πρὸς τούτοις δὲ, καὶ τὰ
ἔκφυλα γένη ἡμῶν σαρκοβο-
ρίαν κατέγνωσαν ἄν, λέγον-
τα δίκην θηρίων ἡμᾶς αἱ-
ματοποτῶν καὶ ὠμοβορῶν. οἱ διὰ
τὴν ἀπιστίαν, ἄρτον μόνον καὶ
οἶνον ὁρῶσιν. οἱ δὲ πιστοὶ σῶ-
μα τοῦ Χριστοῦ καὶ αἷμα τὸ ἐκ
τῆς ἀχράντου χεόμενον πλευρᾶς, ὡς-
περ καὶ ἐν τῷ τοῦ βαπτίσματος
λουτηρίῳ οἱ ἀπιστίᾳ κατεχό-
μενοι ὕδωρ μόνον ἐπὶ τῆς κο-
λυμβήθρας ὁρῶμεν. οἱ δὲ πιστοὶ
τὸ ὕδωρ καὶ πῦρ καὶ πνεῦμα καθο-
ρῶσιν

ὅταν δὲ καὶ ἐκεῖνοι μέτοχοι γέ-
νηνται τοῦ βαπτίσματος, τότε
καὶ αὐτοὶ τὸ βέβαιον ἐκ τοῦ αἰ-
σθητοῦ λαμβάνουσι πρὸς τὴν
ἀόρατον ἀναγέννησιν. ὥστε
εἴ τις ἐστὶν ἐν τῷ ὕδατι χά-
ρις, οὐκ ἐκ τῆς φύσεως ἐστὶ τοῦ
ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ πνεύ-
ματος παρουσίας. ἈΧΜ. πρό-
δηλον ὅτι παντὰ τρόπον κα-
λῶς κηρύττεις καὶ διεξέρχῃ τὰ
τῆς πίστεως τοῦ Χριστοῦ μυστήρια.
περὶ τούτου δὲ ἀπορήσειεν ἄν
τις, πῶς εἷς ὢν ὁ θεὸς καὶ τὸ
σῶμα τοῦ Χριστοῦ ἕν, εἰς ἀνα-
ρίθμητα σώματα καὶ μέρη διαι-
ρεῖται. πολλοὶ τὰ διαιρούμενα
ἄρα Χριστοί εἰσιν, ἢ εἷς. ἢ ἐν
ἑκάστῳ μέρει εἷς καὶ ὁ αὐτὸς σώζεται
καὶ ὁλόκληρος. ΣΑΜΩΝΑΣ.

ἐκ τῶν αἰσθητῶν καὶ ὑλικῶν πα-
ραδειγμάτων τὰ ἄϋλα καὶ
τὰ ὑπὲρ φύσιν ἀποδεικνύομεν.
ἀκουέτω τοίνυν τούτου τοῦ παρα-
δείγματος καὶ νοείσθω τὴν ἐν αὐτῷ
ἐγκεκρυμμένην τοῦ λόγου δύνα-
μιν. ἴδωμεν, κάτοπτρον ἐάν τις
ἑλληνικῶς προσουδίσε, καὶ εἰς πολ-
λὰ κλάσματα κατέκλασεν. ἐν
ἑκάστῳ δὲ ὅμως κλάσματι τὴν
σκιὰν σῶαν τις ὄψεται. οὕτω
νοῆσαι ἄν τις καὶ ἐκ ταύτης τῆς
σκιᾶς, τὴν τοῦ Χριστοῦ σάρκα,
εἶναι σῶαν καὶ ὁλόκληρον ἐν
ἑκάστῳ κλάσματι καθ' ὥραν
καὶ ὁσάκις καὶ πανταχοῦ κλω-
μένῳ. καὶ αὖθις λάβε καὶ ἕτε-
ρον παράδειγμα· πᾶν ὅ,τι
αὐτὸς ῥῆμα προφέρει λέγει, καὶ
ὁ λέγων νοεῖ αὐτὸ καὶ ἀκούει

καὶ

οἱ παρ' αὐτῷ ἀκούουσιν (εἰ καὶ πολ-
λοί εἰσιν οἱ ἀκούοντες) οὐ διη-
ρημένον ἀλλ' ὁλόκληρον. τὸν
αὐτὸν τρόπον θετέον καὶ ἐπὶ
τοῦ σώματος τοῦ χριστοῦ. τὸ
τοῦ χριστοῦ παναγιον σῶμα κα-
θεζόμενον παρὰ τῷ πατρὶ,
μένει ἐν αὐτῷ, ἀλλὰ δὴ καὶ ὁ
ἱερουργούμενος ἄρτος αὐτὸ τὸ ἀ-
ληθὲς τοῦ χριστοῦ σῶμα μετα-
βαλόμενος δυνάμει θείᾳ δι'
ἐπιφοιτήσεως τοῦ παναγίου πνεύ-
ματος καίπερ μερίζεται, ἀλλ'
ὁλόκληρον καὶ σῶον ἐν ἑκάστῳ
κλάσματι σώζεται, ὡς καὶ ὁ λό-
γος τοῦ λέγοντος πρὸς πάντας
τοὺς ἀκούοντας, ὁλόκληρος καὶ
οὐ διηρημένος ἀκούεται. οὕτω
διὰ τῶν ὁρατῶν καὶ αἰσθητῶν πα-
ραδειγμάτων τοὺς ἀπειθεῖς καὶ
περιέργους εἰς τὸ κατανοῆσαι δεῖ]

τὰ τοῦ θεοῦ μυστήρια ὑπὲρ φύ-
σιν καὶ λόγον καὶ ἔννοιαν καὶ ὑ-
πὲρ ἡμᾶς ὄντα ἀνάγομεν. ὅ-
ταν λοιπὸν ὁ ἁγιασθεὶς ἄρτος
εἰς μέρη τέμνεται (ὃς ἐστι πάν-
άγιον τοῦ Χριστοῦ σῶμα)
μὴ νομίσῃς ὅτι μερίζεται, ἢ
ἀποσπᾶται, ἢ διαιρεῖται τὸ ἄ-
χραντον ἐκεῖνο σῶμα (ἀθάνα-
τον γὰρ καὶ ἄφθαρτον καὶ ἀδα-
πανητόν), ἀλλ' ὅτι μερισμός ἐστι
ἐκείνος τῶν αἰσθητῶν συμ-
βεβηκότων μόνον μετὰ τὸν ἁγι-
ασμὸν, πρὸς ῥῶσιν πίστεως καὶ
παράστασιν ὁρατοῦ σημείου
τῶν μενόντων, καὶ ἀρραβῶνα
καὶ ἐφόδιον ζωῆς αἰωνίου.
ἈΧΜΕΔ. ὄντως θαυμαστὰ καὶ
παράδοξα καὶ ὑπὲρ φύσιν καὶ

νοῦ καὶ ἔννοιαν ἀνθρωπίνην τὰ
τῆς πίστεως τῶν Χριστιανῶν ἀπόρ-
ρητα μυστήρια πάτερ ἀββᾶ.
εὐχαριστῶ δέ σοι ὅτι καὶ ἡμῖν
ἀπέδειξας ἄγαν ὁμαλώτα-
τον καὶ λεῖον καὶ ἀληθὲς
δόγμα, τὸν Χριστὸν
παντοδύναμον
καὶ φιλάνθρω-
πον καὶ ἀλη-
θῆ θεὸν
ὑποδεικνύων. ἐξ οὗ ἀπηλήλα-
ται τὸ ψεῦδος. ἐξελήλα-
ται δὲ καὶ πᾶσα φαν-
τασία. ἀγαλλιῶ-
μεν, ἁγίως γὰρ
ταῦτα πεφι-
λοσόφηται
μυωπί-
ζωμεν
δ' ἔτι μᾶλλον ἐπεὶ ὡς ὁρῶ κέκλικεν
ἡ ἡμέρα.

UNIVERSITARIA DE GRANADA

# ΠΡΟΚΛΟΥ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

UNIVERSITAD DE GRANADA

## Περὶ παραδόσεως τῆς θείας λειτουργίας.

Πολλοὶ μέν τινες καὶ ἄλλοι τῶν τοὺς ἱεροὺς ἀποστόλους διαδεξαμένων θεῖοι ποιμένες καὶ διδάσκαλοι τῆς ἐκκλησίας, τὴν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν ἐγγράφως καταλιπόντες, τῇ ἐκκλησίᾳ παραδεδώκασιν. ἐξ ὧν δὲ πρῶτοι εἰσί, καὶ διαπρύσιοι τυγχάνουσιν. ὅ τε μακάριος Κλήμης ὁ τοῦ κορυφαίου τῶν ἀποστόλων μαθητὴς

καὶ διάδοχος αὐτῷ τῶν ἱερῶν ἀποστόλων ὑπαγορευσάντων. καὶ ὁ θεῖος Ἰάκωβος ὁ τῶν Ἱεροσολυμιτῶν ἐκκλησίας τὸν κλῆρον λαχὼν καὶ ταύτης πρῶτος Ἐπίσκοπος ὑπὸ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατασταθείς. οὐδὲ μέγας Βασίλειος μετὰ ταῦτα τὸ ῥάθυμον καὶ κατωφερὲς τῶν ἀνθρώπων, καὶ διὰ τοῦτο, τὸ τῆς λειτουργίας μῆκος ὀκνούντων. ταύτην, οὐ περιττὴν καὶ μακρὰν εἶναι νομίζων, ἀλλὰ τὸ τῶν συνευχομένων τε καὶ ἀκροωμένων ῥάθυμον διὰ τὸ πολὺ τοῦ χρόνου παρανάλωμα, ἐκκόπτων, ἐπιτομώτερον παρέδωκε λέγεσθαι. μετὰ τὴν εἰς οὐρανοὺς καὶ γὰρ ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν οἱ ἀπόστολοι, πρὸ

του ἀνὰ τὴν οἰκουμένην πᾶσαν διασ-
παρῆναι, ὁμοθυμαδὸν εὑρισκό-
μενοι, εἰς προσευχὰς πανημε-
ρίους ἐτρέποντο. καὶ τὴν τοῦ δεσ-
ποτικοῦ σώματος μυστικὴν ἱε-
ρουργίαν παραμύθιον εὑρηκό-
τες διεξοδικώτατα αὐτῇ ἦσαν.
τοῦτο γὰρ καὶ τὸ διδάσκειν, πάν-
των προὐργιαίτερον ἡγοῦντο.
πολλῷ δὲ μᾶλλον μετ' εὐφροσύ-
νην καὶ πλείστης χαρᾶς ἦσαν προσ-
καρτεροῦντες τῇ τοιαύτῃ θείᾳ
τελετῇ, ἀεὶ τοῦ κυριακοῦ μεμ-
νημένοι λόγου. τοῦτό ἐστι τὸ
σῶμά μου λέγοντος, καὶ τοῦτο
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη-
σιν. καὶ ὁ τρώγων μου τὴν σάρ-
κα καὶ πίνων μου τὸ αἷμα ἐν
ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ.

διὸ καὶ πνεύματι συντετριμμέ-
νῳ πολλὰς εὐχὰς ἔμελπον, τὸ
θεῖον ἐκλιπαροῦντες. οὐ μὴν ἀλ-
λὰ καὶ τοὺς ἐξ Ἰουδαίων καὶ ἐθ-
νῶν νεοφωτίστους τοῖς τῆς χά-
ριτος ἐθίζοντες, καὶ τὰ πρὸ τῆς
χάριτος παρελείπειν διδάσ-
κοντες σκιὰ τῆς χάριτος ὑπάρ-
χοντα εὐσεβῶς ἐπαιδαγού-
γουν. διὰ τούτων τοίνυν εὐχῶν
τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύ-
ματος τοῖς ἐδόκων, ὅπως τῇ αὐ-
τοῦ θείᾳ παρουσίᾳ τὸν προκει-
μενον εἰς ἱερουργίαν ἄρτον
καὶ οἶνον ὕδατι μεμιγμένον,
αὐτὸ ἐκεῖνο τὸ σῶμα καὶ αἷμα
τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
ἀποφήνοιεν καὶ ἀναδείξοι. ὅπερ
οὐκ ἔλαττον καὶ μέχρι τοῦ νῦν
γίνεται,

γίνεται, καὶ μέχρι συντελείας τοῦ
αἰῶνος γενήσεται. ἀλλ' οἱ μετ-
έπειτα τὸ ξηρὸν καὶ θερμὸν
τῆς πίστεως ἀποβαλόντες ἐν
ταῖς τοῦ κόσμου πράξεσι καὶ φρον-
τίσι καταγενόμενοι, τὸ μῆ-
κος, ὡς ἔφθην εἰπών, τῆς
λειτουργίας ὀκνοῦντες, μόλις
ἐφοίτων εἰς τὴν θείαν ἀκρό-
ασιν τῶν δεσποτικῶν ῥημά-
των. διὸ καὶ ὁ θεῖος Βασίλειος
θεραπευτικῇ τινὶ μεθόδῳ
χρώμενος ἐπιτομωτέραν ταύ-
την ἀπαγγέλλει. μετ' οὐ πολὺ
δὲ πάλιν ὁ ἡμέτερος πατὴρ
ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάν-
νης, τῆς τῶν προβάτων σω-
τηρίας, οἷα ποιμήν, προθύμως
κηδόμενος, ὥστε τὴν τῆς ἀνθρω-

πίνης

φύσεως ἀνθρωπίνης ἐφορῶν πρόρ-
ριζον πᾶσαν σατανικὴν πρό-
φασιν ἠβουλήθη ἀποσπάσα-
σθαι. διὸ καὶ τὰ πολλὰ ἐπέτρεψε,
καὶ [illegible]ιομώτερον τελεῖσθαι διε-
τάξεν. ἵνα μὴ κατὰ μικρὸν
οἱ ἄνθρωποι ἐλευθερίαν τι-
να καὶ σχολὴν τὰ μάλιστα φι-
λοτιμοῦντας διὰ τοῦ ἀντιπά-
λου διαλογισμοῖς ἐξα-
πατώμενοι, τῆς τοι-
αύτης ἀποστολι-
κῆς καὶ θεϊκῆς
παραδόσεως
ἀφιστῶνται
ὡς
πολλοὶ πολλάκις πολ-
λαχόσε τοῦτο δια-
πραττόμενοι καὶ
μέχρι τῆς σή-
μερον ἐφω-
ράθησαν.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

τῆς πέμπτης οἰκουμενικῆς συνόδου.

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ τῶν ἀρμενίων χώρᾳ, οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνῶντες, οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν χρυσόστομον φάσκοντα, διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας ταῦτα. Τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστάς, ἀλλὰ οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν. ἐπειδὴ

γὰρ εἰσί τινες ἐν τοῖς μυστη=
ρίοις ὕδατι κεχρημένοι, δηκ=
νὺς ὅτι καὶ ἡνίκα τὰ μυστή=
ρια παρέδωκε καὶ ἡνίκα ἀ=
ναστὰς χωρὶς μυστηρίων καὶ
ψιλὴν τράπεζαν παρετίθει,
οἴνῳ ἐχρῆτο, ἐκ τοῦ γεννή=
ματος φησὶ τῆς ἀμπέλου.
ἄμπελος δὲ οἶνος οἶνον
οὐχ ὕδωρ γεννᾷ. ἐκ τούτου
τε τὸν διδάσκαλον οἴονται
ἀνατρέπειν τὴν τοῦ ὕδατος
ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγω=
γήν, ὡς ἂν μὴ καὶ ἀπὸ τοῦ
νῦν κατέχοιντο τῇ ἀγνοίᾳ,
ἤτοι τοῦ πατρὸς διανοίας ὀρθοδό=
ξως ἀποκαλύπτομεν. τῆς
γὰρ πονηρᾶς τῶν ὑδροπα=
ραστατῶν αἱρέσεως παλαι=
ᾶς

ὑπάρχουσιν, οἱ ἀντὶ οἴνου μό-
νῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ
θυσίᾳ κεχρῶνται, ἀνασκε-
υάζων οὕτως ὁ θεοφόρος ἀ-
νὴρ τὴν παράνομον τῆς τοιαύτης
αἱρέσεως διδαχήν. καὶ δεικνὺς
ὡς ἐξ ἐναντίας τῆς ἀποστολῆς
ἵενται παραδόσεως, τὸν ἀρη-
μένον κατεσκεύασε λόγον.
ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκ-
κλησίᾳ ἔνθα τὴν ποιμαντι-
κὴν ἐνεχειρίσθη ἡγεμονίαν, ὕδωρ
οἴνῳ μιγνῦναι παρέδωκεν ἡμῖ-
καὶ τὴν ἀναίμακτον θυσίαν ἐπι-
τελεῖσθαι δεήσει, τὴν ἐκ τῆς θείας
πλευρᾶς καὶ τιμίας τοῦ λυτρω-
τοῦ ἡμῶν καὶ σωτῆρος Χριστοῦ
τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶ-
σιν

παραδεικνύς. ἡ τῆς εἰς ζωο-
ποίησιν παντὸς κόσμου ἐξ-
εχέθη καὶ ἁμαρτιῶν ἀπολύ-
τρωσιν. καὶ κατὰ πάσας ἐκ-
κλησίας, ἔνθα οἱ πνευματι-
κοὶ φωστῆρες ἐξέλαμψαν, ἡ
θεόδοτος αὕτη τάξις κρατεῖ.
καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ
σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν
ἀδελφός, τῆς τῶν ἱεροσολυ-
μιτῶν ἐκκλησίας πρῶτος τὸν
θρόνον ἐνεπιστεύθη. καὶ Βα-
σίλειος ὁ τῆς Καισαρείας ἐ-
πίσκοπος, οὗ τὸ κλέος κατὰ
πᾶσαν οἰκουμένην διέδρα-
μεν, ἐγγράφως τὴν μυστικὴν
ὑμῖν ἱερουργίαν παραδεδωκό-
τες, οὕτω τελεῖσθαι ἐν τῇ θείᾳ

λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου
τὸ ἱερὸν ποτήριον ἐκδεδώ=
κασι. καὶ οἱ ἐν Καρθαγένῃ
συναχθέντες ὅσιοι πατέρες,
οὕτω ῥητῶς ἐπεμνήσθησαν·
ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ
σώματος καὶ τοῦ αἵματος τοῦ
κυρίου προσενεχθείη, ὡς
καὶ αὐτὸς ὁ κύριος παραδέδω=
κε, τουτέστιν ἄρτου καὶ οἴνου, ὕ=
δατι μεμιγμένου. εἴτις οὖν
ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ
κατὰ τὴν παραδοθεῖσαν ὑπὸ
τῶν ἀποστόλων τάξιν ποιεῖ,
καὶ ὕδωρ οἴνῳ μιγνὺς, οὕτω
τὴν ἄχραντον προσάγῃ θυ=
σίαν, καθαιρείσθω ὡς
ἀτελῶς τὸ μυστήριον
ἐξαγγείλας καὶ και-
νίζων τὰ παραδε

Ἰσαὰκ μοναχοῦ τοῦ
ἀργυροῦ πραγματεί
α νέων κανονίων συσ:
ἀντὶ κατὰ τὴν ἀρχὴν
τοῦ ͵ϛωος ἀπὸ τῆς
τοῦ κόσμου γενέ:
σεως ἔτους.

Ἐπειδήπερ οἱ ἐν τῷ προχείρῳ
κανόνες τῶν ὁμαλῶν κινή:
σεων ὅ τε ☉ καὶ ☾ καὶ τῶν ἐπλα:
νωμένων, πρὸς αἰγυπτιακὰ
ἔτη καὶ μῆνας ὡμαλίσθησαν καὶ
πρὸς τὸν δι' ἀλεξανδρέως πε:
ποίηνται τῷ πτολεμαίῳ. πτολε
μαίῳ.

διὸ καὶ ταῖς ψηφοφορίαις
οὐκ ὀλίγη τις καὶ ἀπὸ τούτου
γίνεται δυσχέρεια. χρείαν
ἔχουσι τοῖς μεταχειρίζο=
μενοις, τὰ ῥωμαϊκὰ ἔτη
καὶ τοὺς μῆνας εἰς ἑκάτερα με=
ταμείβειν. ἢ πάλιν ἑκάτερα
ἂν ταυτῶν ὡς ἐν ταῖς συνόδοις
καὶ πανσελήνοις. καὶ ἔτι τοῖς
ἐν τῷ Βυζαντίῳ οἰκοῦσιν ἡ=
μῖν τὸ παρὰ τοῖς διὰ τῶν
πόλεων Βυζαντίου καὶ Αλε=
ξανδρείας βίου διάφορον
ζητεῖν, ἔδοξέ μοι συνησα=
μένῳ πρότερον νέαν ἀρχὴν
τοὺς τοιούτους κανόνας τῶν
ὁμαλῶν κινήσεων τῶν ἀστέρων.

πρὸ ῥωμαϊκὰ ἔτη καὶ μῆνας
ἐκτίθεσθαι. καὶ πρὸς τὸν δια
βυζαντίου ͵βμε''. καὶ τούτῳ ἑπτα
ἑκατὸν τῶν ῥωμαϊκῶν ἐτῶν
τξε ἡμερῶν ἔτι καὶ δ΄, ὡς
κατὰ δ΄ ἔτη ἡμέραν συν-
άγεσθαι α΄. ὁ δὲ καὶ τὴν ἐναλ-
λαγὴν πρὸς τὰ αἰγυπτιακὰ ἔτη
ποιῇ ὡς ὁ Θέων ἐν τῇ μεθόδῳ
τῇ διὰ τῶν τοιούτων κανόνων
ψηφοφορίας ἀρχόμενος τοῦ αὐγ-
λο΄΄ δείκνυσι ποικίλως, κανόνας
μὲν ἁπλῶν ἐτῶν συνεταξά-
μεθα. μέχρι τῶν κδ ἐτῶν
αὐτὸ προβιβάσαντες, διὰ τὸ
τὸν δ΄ ϙ'' κανὸν ὃν ἡ τετραε-
τηρὶς ὀνομάζεται, σύμμετρον
εἶναι τοῖς κδ΄. ἵνα καὶ ἡμᾶς

κατὰ δ΄ ἔτη ἓν ἔτος τιθῶμεν
ἐν τῷ κανονίῳ τξς΄ ἡμερῶν, ὃ
βίσεξτον οἱ ῥωμαῖοι καλοῦσιν.
ἐκ δὲ τῆς ἐπισυναγωγῆς αὐ-
τῶν, ἥτις ἐστὶ τετρακοσιαε-
τηρὶς ἕτερον κύκλον συνεστησά-
μεθα τετρακοσιαετηρίδων
καλούμενον· ἐφ᾽ οὗ τὸ ἐγ-
γινόμενον α΄ ἔτος ἀπ᾽ ἀρχῆς
τοῦ ,ςωσ΄ ἔτους ἀπὸ τοῦ κόσ-
μου γενέσεως ἐστὶν ἀρχόμενον,
ἀπὸ νεομηνίας τῆς μβ΄. ὧν καὶ παρε-
θήκαμεν ἐπὶ μὲν τοῦ τού-
του ἡλίου ὃ ἐστὶ μῆκος α΄, τοῦ
ἀπογείου τῶν μοιρῶν αὐτοῦ ξη΄
μέχρι τῆς κατὰ τὴν εἰρημένην
μβ΄ ἐποχῆς καὶ πρὸς τὸν διὰ
βυζαντίου μβ΄, διὰ ψηφοφορί-
ας

αὐτὸν λαβόντες, οἱ ὄντα, ηγ ιγ.
ἐπὶ δὲ τῶν ἰσῶν ἀπὸ μὲν
ἐκ κθ σοζ μγ. κ ἐπὶ θ ρυηνλ
κ αὐτῆς ρνβ νγ. βορείου δὲ πέρα-
τος ρξβ λθ. καὶ τούτοις οἰκείως
προσθέντες τὰ ἀνήκοντα κινή-
ματα τὰ τῶν κδ ῥωμαικῶν ἐ-
τῶν ἐπὶ συναγωγῇ μετὰ τὰ κύκλων
ἀφαίρεσιν, ἕξομεν μήκους ο δ
μθ μβ ἀπὸ ἐκ κ τ δ ον
κδ κ ἐπὶ θ σμη ιλθβ.
κ αὐτῆς, μζ λη κδ λ ς,
ρδ ιθ ς, παροξήσα-
μεν τὸ τῶν Δ κ ςδ ηα, με-
χρις οὗ ἐβουλήθημεν. ὡς
διὰ τῆς προσθήκης τῶν ἀνωτάτων
δαπανωμένου τοῦ τοιούτου

κ(α)ὶ περαιτέρω παραυξάνεσθαι
καθὼς ἄν τις βούλοιτο. ἐπὶ
δὲ τὸ α´ ἔτος καθ᾽ ὃ συνεστη-
σάμεθα τὴν νέαν ἀρχὴν, βί-
σεξτον ὂν ῥωμαϊκῶς, τῷ ἐπὶ
τοῦ κανονίου τῶν ἁπλῶν ἐτῶν
α´ ἔτει παρεθήκαμεν ὁμαλὰ κινή-
ματα ☉ κ(α)ὶ ☾ ἀνήκοντα με-
τὰ ☉ ἢ ἤτοι ἀφαίρεσιν ταῖς
τξε ὅσ, ἃ μὲν μήκους ☉
μδ. ☾ ἀπογείου ἐκ κδ´ ρμα
δ´. ☾ κ´ ἐπὶ ☉ σπγ λη´. ☾
κ´ αὐτῆς ρα μζ. ☾ ἤτοι
π ι θ κγ. κ(α)ὶ τούτοις μὲν
παραυξήσαντας τὰ κατὰ τετρα-
ετηρίδα ἔτη δηλονότι τὸ ε´
τὸ θ´. τὸ ιγ´. τὸ ιζ´ κ(α)ὶ τὸ

καὶ ·/· τὰ δὲ λ^οι τοῖς ἀνήκουσι
κινήμασι ταῖς τξε ὅσ ἑκάστου
ἡμ ὅσ μὲν μήκους τνθ μεκε
κδ μ ε. ☾ δὲ ἀπογείου μὲν
ἐκ κου ρκθ να νγ. κ ἐπὶ
θ, συθ ιδ μβ. ☾ κ αὐτῆς,
ηπ μγ ζ κη. ☾ ὧν περα-
τος ις κ ο ν η ν γ ν α το
τῶν ἀπλανῶν ἐτῶν κατὰ συν-
εστησάμεθα. τὸν ὅμοιον δὲ
τρόπον, καὶ ἐπὶ τοῦ ἡμ α τῶν μη-
νῶν πεποιήκαμεν. ῥωμαϊ-
κοῖς τε ὀνόμασιν τοὺς μῆ-
νας ἐπισημηνάμενοι. καὶ τοῖς
μὲν ὡς τριακονθημέροις τὰ
ἀνήκοντα ταῖς λ ὅσ ὁμαλὰ
κινήματα ἡμῶν καὶ ☾ παρα-
θέμενοι. τοῖς δὲ ὡς ἀνάλογ

ὅσας ἔχουσι. τὰ ἀνήκοντα ταύ-
ταις ὅσας. τὸν μέντοι φεβρουάριον κθ'
ὅσας ἐτάξαμεν, ὡς κατὰ τὰ ἔτη
ῥωμαϊκῶς κθ' ὅσας ἔχοντα·
διὸ καὶ οἱ μετ' αὐτὸν γ' μῆνες
διπλοῦς ἐκκεῖνται· τῆς μὲν μι-
ᾶς μερίδος τῶν τοιούτων μη-
νῶν συναπτομένης τῷ φεβρουαρίῳ
ὅτε κη' ἔχει ὅσας. τῆς δευ-
τέρας, ὅτε κθ'. καὶ ἐπειδὴ
τὰ ἑξῆς τοῖς μησὶ κινήματα
οὐκ αὐτῶν εἰσὶ τῶν μηνῶν ἀλλὰ
τῶν παρελθόντων, διὰ τὸ τὸν
ἐνεστῶτα μῆνα μέχρι ὀνόμα-
τος μόνου παραλαμβάνεσθαι.
καὶ μὴ ἔχειν οἰκεῖον κίνημα
ὡς μήπω παρελθόντα, τῷ
μὲν πρώτῳ μηνὶ ἢ τῷ σεπτεμβρίῳ

παράκειται ἐπὶ πάντων τῶν π[illegible]
τῶ δὲ ὅλον τὰ ἀνήκοντα ταῖς
ὅσ τοῦ σε[illegible] ἤ[illegible] οἱ μὲν
μήκους κ∠θ λδ. ζ' κ' ἀπο-
γείου τλγθ. ζ' κ' ἐπιγ[illegible],
ια κζ. ζ' κ αὐτῆς, λα νζ.
ζ' βορείου πέρατος, α λέ οις
πάλιν προστεθέντες τὰ ἀνήκοντα
ταῖς λα ὅσ τοῦ ο[illegible] οἱ μὲν
μήκους λ λγ. ζ' ἀπὸ ἐκκεν-
τρων τμζ κα. ζ' κ' ἐπὶ θ λε
μθ'. ζ κ' αὐτῆς, με α. [illegible]
α λη'. τὰ συναχθέντα ὁκαί-
ως ἐφ' ἑκάστου τῶν π[illegible]
παρεθέμεθα. καὶ ἐφεξῆς ὁμοί-
ως. διὰ τῶν λοιπῶν καὶ τῶν μα
ριανὶ παρεθέμεθα, ὅτε μὲν
ὁ φ[illegible] κη ἔχη ὅσ ἐπισυν
θέντες ταῖς π[illegible] τῶ φ[illegible] τὰ

ἀνήκοντα ταῖς κη̄ ὅσ(αι) ὁμαλὰ
κινήματα ἢ ὅσα μήκους κ(αὶ) πλά(τους)
Ϲ ἀπὸ ἐκκ(έντρου) τις με. Ϲ κ ἐπὶ
ἡ(μισυ) τκβ μα. Ϲ κ αὐτῆς
ε μ ν. Ϲ βορείου πέρατος α
κη, ὅτε δὲ ἔχει κθ, τὰ ἀνή-
κοντα κατὰ τὸν ὅμοιον τρόπον
ταῖς κθ. διπλῶς τοῦτόν τε
κ(αὶ) τοὺς ἐφεξῆς μῆνας καθά-
περ εἴφημεν ἐξεθέμεθα. κ(αὶ)
οὕτω τὸ τῶν μηνῶν κανόνιον
συνεστησάμεθα. ἐπειδὴ δὲ τὸ τῶν
ὅσ(ων) κανό(νων) οὐκ ἦν ἀνάγκη με-
ταποιηθῆναι πρὸς δὲ κ(αὶ) τὸ τῶν
ὡρῶν, εἰάσαμεν ταῦτα ἀπαρ-
αποίητα. χρείας δὲ μόνης οὔ-
σης κ(αὶ) τῶν ἡμ(ερῶν) εἶναι ἀπογε-
γραμμένην διὰ τοὺς ἔχοντας
τῶν μηνῶν ἀνὰ τὰ ὅσ(α), ὑπὸ

το κατὰ τὸ πλῆθος τῶν μηνῶν ὃ ἡμεῖς
συνεστησάμεθα, ἐφ' ἑνὸς τῶν τὰ
ὥρας ἐκθέμενοι παρεθήκαμεν
αὐτῷ τὰ ἀνήκοντα οἰκείως ἐφ'
ἑκάστου τῶν ἀριθμῶν. τὰ αὐτὰ ὄντα
τοῖς πρώτοις, τὰ δὲ ὄντα ἐπὶ τοῦ ἡμε=
τέρου κα'. ἐπεὶ γὰρ ἐν τῷ κα'
τῶν ὡρῶν τῇ μὲν α ὥρᾳ παρά
κειται σο. τὰ δὲ ἐξαε ταῖς
β ὥραις, τὰ ἀνήκοντα εἰσὶ τῇ
α ὥρᾳ, δῆλον ὅτι καὶ τὰ ὀφείλον=
τα παρακεῖσθαι ταῖς δυσὶν ὥραις.
τὰ ἀνήκοντα εἰσὶ τῇ α ὥρᾳ, δη=
λον ὅτι καὶ τὰ ὀφείλοντα παρα=
κεῖσθαι ταῖς λα ὥραις τὰ ἀνή=
κοντα ταῖς λ ὥραις εἰσίν. ὥστε
ταῦτα ἴσα εἰσὶ ταῖς τοῦ σε πλείστου
τριακονθημέρου ὄντος. α παρά
κειται

τῶν ὅλων. ἐπεὶ μὲν οὖν τοῦ ☉
καὶ τῆς ☾ οὕτω συνεστησάμεθα
τῶν ὁμαλῶν αὐτῶν κινημάτων
κανόνια. τὰ δὲ τῶν ἐπλανω-
μένων, νῦν μὲν σχολὴν οὐκ
ἔχομεν ὁμοίως ἐκθεῖναι καὶ
ταῦτα δὲ, ὧν δέ ποτε σχολὴν
ἡμῖν δῶσι θεοὶ, προσαναπλη-
ρωθήσεται καὶ τὸ περὶ τούτων.
καὶ οἶμαί γε μὴ δόξαι σαφεσ-
τέροις ἔργον τὸ παρὸν σπούδασ-
μα. εἴπερ ἐν πᾶσι τὸ εὐχερὲς
τοῦ μὴ οὕτως ἔχοντος δεῖ προ-
τιμᾶν.

Ἐπεὶ δὲ κἂν ταῖς διὰ τῶν προ-
χείρων κανόνων ψηφοφορίαις
ὡς ὁ Θέων μεθοδεύει ἐκ τοῦ
παρὰ Ἀλεξανδρεῦσι μηνὸς ὁ

ὁ κατ' Αἰγυπτίους ζητεῖται. ὁ δὲ πα-
ρὰ Ἀλεξανδρεῦσι μὴν οὐκ ἔστιν ὁ
αὐτὸς κατὰ πάντα τοῖς παρὰ ῥω-
μαίοις, τὴν μὲν γὰρ ἀρχὴν τοῦ
ἔτους ἐκείνου πρὸ γ σσ τοῦ
παρ' ἡμῖν σεπτ ποιοῦνται. πάν-
τας δὲ τοὺς μῆνας τριακονθη-
μέρους ποιοῦσι. καὶ ὕστερον ἕνα
πενθήμερον ποτὲ δὲ καὶ ἑξήμε-
ρον, ὅτε δῆλον ὅτι καὶ ἡμεῖς
τῷ φεβρ. καὶ ἕτερον ἡμ ἐθ ἀ-
πονέμομεν καθ σσ τοῦ τὸν
ποιοῦντες, καὶ ζητήσεις ἐντεῦ-
θεν καὶ περὶ τούτου γίνεται
τοῖς ψηφοφοροῦσιν, ἡμεῖς κἂν
τούτῳ τοῦ προχείρου φροντί-
δα ποιούμενοι, κανόνιον ἐξ-
εθήκαμεν

ῥωμαϊκῶς τε περιέχοντας
μῆνας καὶ ἔτι ὡς οἱ Ἀλεξαν-
δρεῖς χρῶνται. ἐφ' ἑκάστῃ γὰρ
τῇ τοῦ ῥωμαϊκοῦ μηνὸς ἡμέρᾳ,
εὐθὺς παράκειται καὶ ἡ τοῦ παρ'
Ἀλεξανδρεῦσι. πλὴν ἐπὶ με-
τὰ τὸν φεβρουάριον ἐν τοῖς ἐφεξῆς
μησὶ συμβαίνει ἐναλλαγὴν
γίνεσθαι διὰ τὴν ἐνίοτε
τοῦ φεβρουαρίου προσθήκην· ἄλλως γὰρ
ἔχουσιν ὅτε ὁ φεβρουάριος κη' ἐστὶν
ἡμερῶν. καὶ ἄλλως ὅτε κθ'. διὰ
τοῦτο οἱ ἀπὸ μαρτίου
μηνὸς καὶ ἐφεξῆς δι-
πλῶς ἐξετέθησαν.

Τέλος.

UNIVERSITAD DE GRANADA

Descripta haec omnia ex Bibliotheca regia Laurentiana anno Domini 1614.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

# ΝΕΙΛΟΥ ΜΗΤΡΟΠΟΛΕΙΤΟΥ ΡΟΔΟΥ ΤΟΥ ΔΙΑΣΩΡΙΝΟΥ

UNIVERSITARIA DE GRANADA

## ΠΕΡΙ ΛΙΘΩΝ

Αἰτιολογήσασθαι μὲν σοι τὰς ἐν τοῖς λίθοις δυνάμεις οὐκ ἂν τολμήσαιμι, οὐδὲ μιμήσομαι κατὰ τοῦτο τὸ μέρος τῶν δογματικῶν τὴν προπέτειαν δυνάμενος ἐφ' ἑκάστου πολλὰ φυσιολογεῖν· ἑκάστης δὲ καὶ τῶν διεγνωσμένων ἡμῖν λίθων, καὶ ἃς μάλιστα ἀγαπῶσιν οἱ ἄνθρωποι, τὰς ἐνούσας δυνάμεις ἀνακαλύψω σοι, ἵν' ἐν καιροῖς αὐτοῖς χρῷο, καὶ τινα ὠφέλειαν καρπίζοιο παρ' αὐτῶν, καὶ ἵνα τὰς ἀγνώστους ἡμῖν λί-

θους

σάβης, τὸν ὀνοκάρδιον, καὶ ὁλκάδα καὶ
τὸν σπογγίτην, τὸν τελεμμωκάτην, καὶ
τὸν λίγκουρον, τὸν τετριγλίτην, καὶ τὸν
σχιστὸν καὶ τὸν τριοφθαλμον, καὶ τὸν σο-
κόνδιον καὶ συριγγίτην, καὶ ὅσοι τοιοῦ-
τοι ὧν τὰ ὀνόματα μόνον ἴσμεν,
οὐ μὴν ἔτι γε καὶ αὐτοῖς ἐντυγχάνο-
μεν, ἀπὸ τῶν γνωριμοτέρων ἡ-
μῖν ἀπάρξομαι.

Αὐτίκα ὁ Ἀδάμας λίθος χροίαν
ὄντος ἔχει ὑελίζουσαν καὶ στιλπνὴν
κραταιός τε ἐστὶ καὶ δυσθραυστος, ἡμι-
τριταίους πυρετοὺς σβέννυσιν ἐξαρ-
τώμενος.

Ὁ Αἱματίτης ὀνομάζεται οὕτως ὅτι
βρεχόμενος ὕδατι αἱματώδη χροιὰν
ἀφίησιν· ὀφθαλμοὺς ἰᾶται μεθ' ὕδατος
ἐγχριόμενος.

Ἡ ἀμέθυσος ὑακινθώδης μέν ἐστι
τὴν χροιάν. ἰᾶται δὲ κεφαλαλγίας
καὶ τοὺς πίνοντας οἴνου φυλάττει

νήφοντας· ὅθεν αὐτῷ καὶ τοὔνομα.

Ὁ ἄνθραξ ἐν Ἰνδοῖς μὲν ἔχει τὴν γένε-
σιν. ἔστι δὲ ἄνθραξιν ἐμφερής, καὶ ὁ μέν
τις ἐστὶ θηλυφεγγής, ὁ δὲ βραχύ τι με-
λάντερος· φοινικίζει δὲ πρὸς ἥλιον κα-
θορώμενος, εὑρίσκεται δὲ ἐν ὄρεσιν
ἀντιλάμποντα τοῖς ἡλιακαῖς ἀκτῖσι
καὶ ποικιλλόμενον μὲν τοῦτον οἱ λιθογ-
νώμονες ἴσασιν· οὐ μήν γε καὶ τὰς δυ-
νάμεις αὐτοῦ μεμαθήκασιν, εἰ μὴ μό-
νον τὸν ἀνθρακίτην τὸν περὶ Θεσπρω-
τοῖς γενόμενον, ἔλαττον τὸ πυραυ-
γὲς ἔχοντα κεφαλγίας ἰᾶσθαι
φασὶ παρὰ τῷ κάμνοντι θυμιώμενον.

Ὁ Ἀχάτης, ἔστι δὲ ποικίλος τὴν
χροιάν, καὶ διηγλαϊσμένος καὶ ὁ μὲν
πηρώχος, ὁ δὲ φοινικόχρους. ἡ σαρ-
δοειδής, ὀφθαλμῶν ῥεύματα καὶ
κεφαλγίας ἰᾶται, ἐπέχει δὲ καὶ
ῥοῶν

γυναικῶν καὶ τῷ ὑγρῷ ὕδρωπι ἀντίθετος ἐστὶ καὶ τοσοῦτον αὐτῷ τὸ περὶ τῆς ξηραντικῆς δυνάμεως ὡς καὶ ὕδωρ ἀναπίνειν δύνασθαι καὶ κενὸν τὸ ἄγγος ποιεῖν.

**Ὁ Βήρυλλος**, τρεῖς δὲ τούτου τοῦ λίθου μορφαί, καὶ ἡ μὲν αὐτῶν ἐλαιοβαφής ἐστι τῷ χροιᾷ. ὁ δὲ θαλάττῃ προσεοικώς. ὁ δὲ λαμπρὸς τὰς αὐγὰς καὶ ὁμοφυὴς καὶ λάμπων πόρρωθεν. οὗτος οὖν ὁ λίθος ἐνλάβεις ἰᾶται καὶ σπασμοὺς καὶ ὀφθαλμῶν ὀδύνας καὶ ἴκτερον.

**Ὁ Γαλακτίτης** ἀπορρήτως βρύει γάλακτι, ἔνθεν γὰρ αὐτῷ καὶ τοὔνομα. κατασπᾷ δὲ γάλα ταῖς γυναιξὶ, λήθην ἐργάζεται τῶν κακῶν, καὶ μνήμην τῶν καλῶν. ἀντίθετος δέ ἐστι καὶ θηρίων πληγαῖς περίαπτος γεγονώς.

**Τὸ Ἤλεκτρον** ἐστὶ δὲ τὸ μὲν ἰνδικὸν τὸ δὲ λιβυστικόν, οἰκειοῦνται δὲ αὐτῷ

καὶ σκύθαι καὶ αἰθίοπες. γίνεται δὲ παρὰ
τὸν ἠριδανὸν ποταμόν, ἔνιοι δὲ καὶ δά-
κρυον αὐτό φασι δένδρου λινός. κοῦφον
γάρ ἐστι καὶ θυμιᾶται ὡς ὁ λιβανωτός,
ἢ ἡ μαστίχη ἰᾶται, ἰᾶται δὲ καὶ δυσου-
ρίαν περιαπτόμενος, καὶ πυρετῶν ἀ-
παλλάττει, καὶ στομάχου ῥεύματα ἵστη-
σι. καὶ τοῖς ὀφθαλμοῖς δὲ ἐγχριόμε-
νος ὀξυδερκίαν χαρίζεται.

Ἡ Ἴασπις φύσει κρυσταλλοειδὴς ὀλίγον
ἐπιτεινομένη τὴν χροιὰν καὶ ἀρίστη μὲν
ἡ ὑποπορφυροῦσα· δευτέρα δὲ ἡ φλεγ-
ματικωτέρα καὶ παράλευκος, ἔστι δέ
τις καὶ ἀεροειδής, ἀναστέλλει δὲ ῥεύ-
ματα κεφαλῆς, καὶ τοὺς ἐφιάλτας
ἀπωθεῖται καὶ λοιμικοῖς ἀντιτατ-
τεται πάθεσι, καὶ ἐπιληπτικῶν. ἔστι δέ
τις ἰασπὶς καὶ σμαραγδίζουσα· ἡ δὲ
ἐμφερὴς ἀφροῦ ἐγκεφάλῳ, ἣς οὔπω
οὐδεὶς ἔγνωκε τὴν δύναμιν.

Ὁ Ἰδαῖος δάκτυλος ἐν Ἴδῃ τῇ κρήτης
γίνεται, καὶ ἔστι τὸ σχῆμα δακτύλῳ τοῦ
ἀνδρὸς ἐμφερὴς τῷ ἀντίχειρι, τὴν χρο-
ιὰν σιδηρόχρους, οὗτος ὁ λίθος δικαι-
ότατος πάντων τῶν λίθων ἐστί. τὰς
μὲν γὰρ ἐκ τῶν δικαίων μίξεων
γινομένας σποράς τελειοῖ, φθείρει
δὲ τὰς ἀθεμίτους καὶ παρανόμους.
Ὁ κρύσταλλος ἔοικε μὲν ὕδατι καθα-
ρῷ, ἐγκαεὶς δὲ ὑπὸ ἡλίου χροιὰν
ἀμεθύσου μεταλαμβάνει. ἐπειδὲ
τὸ βαρύτερον τραπείς, ἰάσπιδι γίνε-
ται ὅμοιος. οὗτος τρόμους ἀπερύκει
καὶ ἐκλύσεις νεύρων ἀνατριβόμενος.
Ὁ λυχνίτης, ἔστι δὲ ὁ μὲν ἀστρακώ-
δης, ὁ δὲ πορφυρίζει, ὁ δὲ διαυγάζει.
ἰᾶται δὲ νυκτάλωπας ἀρτηθεὶς
ἀπὸ τοῦ τραχήλου, ῥεύματά τε ἐ-
πέχει ὀφθαλμῶν, ἐν λίνῳ ῥάκει πε-
ριληφθεὶς τοῦ μετώπου.

Ὁ Μάγνης λίθος ἐστὶ μέλας βαφύς, καὶ ἀνώμαλος, καὶ ὁ μὲν τις ἐπισπᾶται τὸν σίδηρον, ὁ δὲ ἀποπλύει, ἀναλυόμενος δὲ γάλακτι ὀξυδερκίαν ποιεῖ, καὶ μελαγχολίαν ἰᾶται.

Ὁ ὄνυξ εὐμεγέθης ἐστὶν, ὥστε τοὺς Ἰνδοὺς καὶ πόδας κλίνης ἐντεῦθεν τορεύειν, διαρθεὶς δὲ πρὸς αὐγὴν, παντοίαν ἀναφαίνει ἔνδον χροιὰν ἢ γὰρ ἀνθρακώδη, ἢ μέλαιναν, ἢ σαρκώδη, ἀναλυθεὶς δὲ ἐπέχει φαντασίας νυκτερινὰς ὀδοῦσι τε ῥευματιζομένοις περιτριβόμενος ὠφελεῖ.

Ὁ Σάπφειρος, ἵστησι ῥεῦμα ὀφθαλμῶν μετώπῳ περιαφθεὶς. ἑλκώσεις ἰᾶται ποθεὶς μετὰ γάλακτος ξηραντικός τε ἐστι καὶ στυπτικός, καὶ πυρετοῖς ὀξέσιν ἀντίθετος.

Σαρδώνυξ ἡ λίθος αὕτη μέσον ἔχει

γεγραμμένην λευκήν, ἔστι δὲ καὶ μονόχρο-
ος, καὶ πολύχροος, καὶ ἡ μὲν μονό-
χροος, ὀφθαλμῶν ἵστησι ῥεύμα-
τα καὶ διεζωσμένη, τοὺς τῶν ἐκ-
βρύων ἐπέχει ὀλισθούς· ἡ δὲ ποι-
κίλη ὠφελεῖ μελαγχολικοὺς ἐξ-
ηρτωμένη.

Ὁ σεληνίτης, καλεῖται δὲ οὕτως
ὅτι ὀφθαλμόν οἷόν τινα ἔχων
συναυξόμενον τοῦτον καὶ συμμει-
ούμενον ταῖς τῆς σελήνης αὐξήσεσι,
καὶ μειώσεσι δείκνυται.

Ἡ σμάραγδος πράσον εἶδος ἐστὶ καὶ
ἠρέμα χρυσίζουσα, καί τι καὶ τοῦ γλαυκοῦ
παρεμφαίνουσα χρώματος. γεννᾶ δὲ
ταύτην καὶ αἰθιοπία καὶ αἴγυπτος,
καὶ περσὶς καὶ τινὰ ὄρη Ἀσιατικῆς
αὕτη καταπλαττομένη μετὰ ὕδατος
ἐλεφαντικοῖς βοηθεῖ, πινομένη

δὲ μετ' ὕδατος ἐλεφαντιακοῖς βοηθεῖ.
πινομένη δὲ μετ' αὐτοῦ, αἵματος ἐ=
πέχει ῥοάς. ἐνταῦθα Ὑάκινθος,
τοῦτον τίκτει μὲν ἡ ἰνδῶν χώρα, ἔστι
δὲ θαλαττόχροος. ἰᾶται δὲ πνευμα=
τώσεις καὶ ῥήγματα μελαγχολικά τε
παύει σὺν ὀξεῖ ποθείς.

Χρυσόλιθος ἀντιλέγεται χρῶμα πᾶσι
πάθεσι ὀφθαλμῶν. Χρυσήλεκ=
τος, οὗτος φορούμενος περὶ τράχη=
λον σβέννυσι πυρετούς. Χρυσό=
πρασος. οὗτος περὶ τοῖς καρποῖς
φορούμενος παρέχει ὀξυδερκίαν,
στομαχικοὺς δὲ ἰᾶται. καρδιαλγοῦν=
τας, καὶ λύειν ἐμπνευματώσεις
οἶδε. Χαλαζίας λευκός ἐστιν
οὗτος καὶ στερεὸς καὶ μικροῖς κρυσταλ=
λοις ἐοικώς. περιαπτόμενος δὲ ἰᾶ
ται

σκορπίων πληγάς.

Τοπάζιον διαφανής ἐστι λίθος ὑέλῳ παρεμφερής, φύεται δὲ εἰς τὸν Ἀραβικὸν λεγόμενον κόλπον ἔν τινι πελαγίᾳ νήσῳ, καὶ ἡμέρας μὲν οὐχ ὁρᾶται. κρύπτει γὰρ αὐτοῦ τὸ φέγγος ὁ ἥλιος, νυκτὸς δὲ διαλάμπει πόρρωθεν καὶ τραχὺς μὲν εὑρίσκεται καὶ ἀνώμαλος, τεχνικοῖς δὲ ὀργάνοις λειαίνεται. οὗτος μαινομένους ἀποκαθίστησι, τριβεὶς καὶ ποθείς, δρᾷ δὲ τὰ αὐτὰ καὶ περίαπτος. τούτων δὴ τῶν παρὰ τοῖς λίθοις δυνάμεων αἰτίας πολλοὶ ἐθάρρησαν ἀποδοῦναι τῶν μὲν ἀρχαιοτέρων σοφῶν Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος, τῶν δὲ οὐ πολὺ

πρὸ ἡμῶν ὁ τῆς ἀφροδισιάδος Ἀλέ-
ξανδρος, ἄνθρωπος περὶ πάν-
των ἁπλῶς εἰπεῖν καὶ τῶν
ἀπορρήτων τῆς φύσεως προ-
χειρότατος. σοὶ δὲ
ἀποχρῶσα ἔστω
ἡ ἑκάστου τῶν
λίθων δυ-
ναμις
καὶ
ἐνέργεια, τοὺς δὲ λόγους
αὐτῶν καὶ τὰς αἰτίας
παρὰ τοῖς ἄνω
θησαυροῖς
ἔασον.

C.D. 26


# ΤΟΥ ΑΥΤΟΥ

## Πόθεν εὑρίσκονται οἱ δώδεκα λίθοι καὶ ποία τίς ἡ θεωρία ἑνὸς ἑκάστου.

Ὁ σάπφειρος πορφυρίζων μέν ἐστιν, γίνεται δὲ ἐν Ἰνδίᾳ καὶ Αἰθιοπίᾳ. τριβόμενος δὲ φύματα καὶ ἄνθρακας ἰᾶται, σὺν γάλακτι δὲ ἐπιχεόμενος τοῖς ἑλκωμένοις τόποις. καὶ ἡ ἐν τῷ ὄρει τῷ Μωϋσῇ δοθεῖσα νομοθεσία, ἐπὶ λίθῳ σαπφείρῳ λέγεται πεφηνέναι.

Λίθος δεύτερος ἴασπις.

Ἴασπις τὴν χρόαν σμαραγδίζων μέν ἐστι· εὑρίσκεται δὲ παρὰ

τὰ στόμια θερμαίδοντος ποταμοῦ καὶ παρὰ ἄμμου θινὶ τῷ κύπρου. χρησιμεύει δὲ εἰς τὰς ἐπιλήψεις.

## περὶ λίθου ὑακίνθου.

ὑάκινθος πορφυρίζων μέν ἐστι. εὑρίσκεται δὲ ἐν τῇ ἐνδοτέρᾳ βαρβαρίᾳ τῆς Σκυθίας. Σκυθίαν δὲ εἰώθησαν καλεῖν οἱ παλαιοί, τὸ κλίμα ἅπαν τὸ βόρειον, ἔνθα εἰσὶν οἱ Γότθοι. ἐκεῖ τοίνυν ἔνδον ἐν τῇ ἐρήμῳ τῆς μεγάλης Σκυθίας ἐστὶν φάραγξ λίαν βαθυτάτη καὶ ἀνθρώποις ἄβατος. ὄρεσι πετρῶν ἐντεῦθεν καὶ ἐντεῦθεν περιτειχισμένη. ὥστε ἄνωθεν ἀπάγοντων ὀρέων παρακύψαντά τινα μὴ δύνασθαι κατοπτεύειν τὸ ἔδαφος τῆς φάραγγος. ἀλλ᾽ ἀπὸ τοῦ βάθους

ἐσκοτεῖσθαι

ὡς ὑπὲρ χάος. οἱ οὖν ἀποστελλόμε-
νοι παρὰ τῶν ἐκεῖσε πλησιαζόντων βα-
σιλέων κατάδικοι εἰσι. καὶ βιαζόμενοι.
θύσαντες δὲ ἄρνας καὶ ἐκδήραντες, ῥίπτου-
σιν ἄνωθεν ἀπὸ τῶν πετρῶν εἰς τὸ χά-
ος τῆς φάραγγος καὶ κολλῶσιν οἱ λί-
θοι ἐν τοῖς κρέασι ἐκείνοις. ἀετοὶ οὖν
ἄνω ἐν ταῖς πέτραις οἰκοῦσιν. καὶ ἔρ-
χονται ἐν τοῖς κρέασι καὶ αἴροντες ἄνω
καὶ καθίσαντες ἐν τόπῳ, τὰ κρέη βι-
βρώσκουσι καὶ οἱ λίθοι ἀπομένουσιν
ἐκεῖσε. οἱ δὲ κατάδικοι σκοπεύσαν-
τες ποῦ ἐβρώθησαν τὰ κρέη ὑπὸ τῶν
ἀετῶν ἔρχονται καὶ εὑρίσκουσιν αὐτοὺς
ἐκεῖσε. ἔχει δὲ ἐνέργειαν τοιάνδε.
βαλλόμενοι γὰρ ἐπὶ ἀνθράκων αὐτοὶ
μὲν οὐ βλάπτονται, τοὺς δὲ ἄνθρακας
κατασβέννουσιν. οὐ μόνον δὲ τοῦτο.

ἀλλὰ καὶ λαβών τις τὸν λίθον, καὶ περι-
ειλήσας ἐν ὀθόνῃ λινῇ ἐπιθεὶς ἐπ'
ἀνθράκων, καὶ κρατῶν. αὐτὸς μὲν
ἀπὸ τῆς πυρᾶς τὴν χεῖρα φλογίζεται.
ἡ δὲ ὀθόνη ἀπὸ τῆς πυρᾶς ἀβλαβὴς
διαμένει. λέγεται δὲ καὶ ταῖς δυστε-
κούσαις γυναιξὶν εὐτοκίας χάριν
χρησιμεύειν.

## λίθος τέταρτος ὁ ἀχά-της.

Ἀχάτης ὑποκυανίζων μέν ἐστι. εὑ-
ρίσκεται δὲ καὶ οὗτος ὑπὸ τὰς Σκυθί-
ας ἐκείνας. τριβόμενος δὲ καὶ ἐπι-
χριόμενος τῷ μετώπῳ δήγματα
ἀποτρέπει ὄφεων καὶ σκορπίων καὶ αἰ-
χίνων καὶ πολυποδίων.

## πέμπτος λίθος ὁ ἀμέθυσος.

Ἀμέθυσος ὡς φλογίζων μέν ἐστι βα-
θέως

εὑρίσκεται δὲ ἐν τοῖς ὄρεσι τῆς λιβύης, ἢ πρὸς ταῖς ὄχθαις τῆς θαλάσσης.

ἕκτος λίθος ὁ χρυσόλιθος.

Χρυσόλιθος χρυσίζων μέν ἐστι. εὑρίσκεται δὲ ἐν τῇ φρεατίδι πέτρᾳ. παρὰ τὸ χεῖλος τῆς σκαμανίλιδος βαβυλῶνος. τὴν γὰρ βαβυλῶνα καὶ τὸ φρέαρ ἐκείνου τὴν πέτραν ἀχαμενίζαι καλοῦσι. τριβόμενος δὲ στομαχικοῖς καὶ κοιλικοῖς καὶ κυλιακοῖς ἰαματικὸς ὑπάρχει.

λίθος ἕβδομος ὁ βύριλλος.

Βύριλλος γλαυκίζων μέν ἐστι. εὑρίσκεται δὲ παρὰ τὰ τέρματα τοῦ ὄρους τοῦ καλουμένου Ταύρου.

λίθος

## λίθος ὄγδοος ὁ ὀνυχί-
## της.

Ὁ ὀνυχίτης ξανθὸς μέν ἐστι τῇ φύ-
σει. εὑρίσκεται δὲ καὶ οὗτος ἐν τῷ
αὐτῷ ὄρει τῷ ταύρῳ.

## λίθος ἔννατος τοπάζιον.

Τὸ τοπάζιον ἐστὶν ἡ χρόα ὀξυρη-
κοῦ. εὑρίσκεται δὲ ἐν τῇ θηβα-
ίδι τῇ μεγάλῃ.

## λίθος δέκατος ὁ ἄνθραξ.

Ὁ ἄνθραξ λίθος ἐστὶν ἡ ἰδέα αὐτοῦ
ὡς φλὸξ καμίνου. ἐὰν τεθῇ ἐν
σκευῇ τινί. καὶ τεθῇ ἐν τῇ νύκτι
ἐν οἰκίᾳ λάμπει ὁ λίχνος. τοῦ-
τος εὑρίσκεται ἐν τῷ εὐφράτῃ
ποταμῷ.

## λίθος ἑνδέκατος ὁ σμα-
## ραγδος.

Σμάραγδος

Σμάραγδος λίθος ἐστὶν τῇ χροᾷ πρά-
σινος· ὅστις ἐξέρχεται ἐκ τοῦ τετάρ-
του ποταμοῦ τοῦ ἐκπορευομένου ἐκ
παραδείσου, πάνυ ὡραῖος ὑποχλω-
ρίζων.

λίθος δωδέκατος ὁ ἀδά-
μας.

Ὁ Ἀδάμας λίθος ἐστὶν τῇ θεωρίᾳ
ὡς γαιώδης· εὑρίσκεται δὲ καὶ αὐτὸς
ἐν Φεισὼν ποταμῷ. ὃν καὶ ἐπιθέασιν
οἱ ἀρχιερεῖς ἐν τῇ ἀρχιερατικῇ
στολῇ. ἐν τῷ ἐπωμιδίῳ ἐν ᾧ λίθῳ
καὶ ἐπροεφήτευον τὰ μέλλον-
τα. μέλας γὰρ φαινό-
μενος ἀσθενείας ση-
μαίνει, ἐρυθρὸς πρὸς
θεὸν καταλλα-
γήν.

UNIVERSITA DE GRANADA

# ΑΝΩΝΥΜΟΥ.

## περὶ τ(ῆς) τοῦ ἱερέως στολῆς.

λίθον δὲ ἀδάμαντα φέρει ὁ ἀρχιε=
ρεὺς εἰσερχόμενος εἰς τὰ ἅγια τῶν
ἁγίων τρεῖς τοῦ ἐνιαυτοῦ. τῇ ἑ=
ορτῇ τοῦ πάσχα. καὶ τῇ πεντηκοστῇ.
καὶ τῇ σκηνοπηγίᾳ. ἦν δὲ κείμενος
ἐπὶ στῆθος τοῦ ἀρχιερέως ὁπόταν
ἐνεδύετο τοῦ ποδήρη. καὶ ἐπάνω
τοῦ ποδήρεους ἐπενδύετο τὴν ἐ=
πομίδα. ἤρχετο δὲ ἡ ἐπομὴς
κατώτερον τοῦ στήθους. ἦν γὰρ
σπιθαμῆς καὶ ἡμίσους τὸ μῆκος,
ἐκ δεξιῶν δὲ καὶ ἐξ ευονύμων. ἀσ=
πιδίσκους ἐπάνωθεν τῶν μαζῶν
ὅπου ἐσωγράφησαν δύο σμάραγδοι
εἰς μέσον δὲ τούτων ἡ δύσις λίθος
ἀδάμας. ἐπάνω δὲ τῶν ὤμων

οἱ δύο λίθοι οὗτοι. α. σάρδιον. β.
τοπάζιον. γ. σμάραγδος. δ. λιγύ-
ριον. ε. ἀχάτης. ς. ἀμέθυσος.
ζ. χρυσόλιθος. η. βήρυλλος. θ. ὀ-
νύχιον. ι. ἴασπις. ια. ἄνθραξ.
ιβ. σάπφειρος. πρὸς τὸ δὲ ἐνιαυ-
τοῦ ἐδηλοῦτο τῷ λαῷ διὰ τοῦ λί-
θου εἰ ἐν ἁμαρτίαις εὑρέθησαν
ἐν ταῖς ἐντολαῖς, καὶ εἰ δεδώκασι φα-
σι κρίσεως ὁ αὐτὸς ἐτρέπετο ὁ λί-
θος. καὶ ἐγίνετο μέλας καὶ ἐγί-
νωσκον ὅτι θάνατον ἐξαπέστει-
λαν κύριος ἐπὶ Ἰακὼβ καὶ ἦλθεν
ἐπὶ Ἰσραήλ. ἡνίκα δὲ ἐν μαχαί-
ραις αὐτοὺς ἐπέμπετο αἱμάτι-
νος ἐγίνετο ὡς ἐπὶ τοῦ Ἱερεμία
καὶ εἶπεν ὁ κύριος πρὸς αὐτὸν ἐπὶ τῷ
λαῷ ἐξελήλαται ὅσοι εἰς σφαγήν

κὶ ὅσοι εἰς αἰχμαλωσίαν κὶ δώσω τῶν
μάχαιραν, κὶ τὰ ἑξῆς. εἰ δὲ ἐγίνετο
αἴσει χιωνῶν λαμπρῶς. ἐγίνωσκεν
ὁ λαὸς ὅτι οὐδαμῶς ἁμαρτία. κὶ
τότε ὁ λαὸς ἑόρταζεν καθὼς λέ-
γει εἰς τοὺς ιβ προφήτας, ἑόρ-
ταζε Ἰουδαία τὰ ἑορτάς σου. ἀ-
πόδως τῷ κῷ τὰς εὐχάς σου.
διὸ κὶ ἐπὶ Ζαχαρίου τοῦ πρὸς Ἰω-
άννου ἐν τῇ ἐφημερίᾳ αὐτοῦ
τὸ πάσχα. λαμπρὸς ἐγένετο ὁ
λίθος. τότε γὰρ ἀρχὴν ἔλεσαν
τοῦ ἱερατεύειν τὸν ἐνιαυτόν. κὶ
τὸ ἐπιόντι ἕτερος ἀνελάμβανεν
τὸν ποδήρη. ἐπὶ δὲ τοῦ Ζαχαρίου
ὅτι ~~σφ~~ ὀπτασίαν ἑώρακεν. κὶ ἐμβρα-
δύνοντος αὐτοῦ εἰς τὰ ἅγια τῶν
ἁγίων ἐν ἀγωνίᾳ ἦν ὁ λαός

προσδοκῶν μήπως ἐξ ὁ λίθος
ἐλεγμὸς ἁμαρτίας οἷος ἐστι σή-
μερον ὃν ἀπεδοκίμασαν λίθον
τουτέστιν Χ(ριστό)ν οὕτως ἐλεγμὸς αὐ-
τῶν. ἐξελθόντος δὲ τοῦ Ζαχα-
ρίου ἐν νίκῃ πᾶς ὁ λαὸς ἀτε-
νίζων πρὸς τὴν ἐπωμίδα
τῷ λίθῳ, καὶ ἰδὼν ὅτι λαμ-
πρὸς ὡς χιὼν ἐγέ-
νετο καὶ ἐπλήσθη-
σαν χαρᾶς, εὐ-
αγγελίας γὰρ
βασίλειαν
οιωνῶν
λαμ
πὰν
ἐσήμανεν αὐτοῖς.

# ΝΕΜΕΣΙΟΥ ΦΙΛΟΣΟΦΟΥ.

## Κατὰ τοῦ Γαληνοῦ τὴν ψυχὴν κρᾶσιν καὶ ἁρμονίαν λέγοντος, καὶ τοῦ Πυθαγόρου τοῦ λέγοντος τὴν ψυχὴν ἀριθμὸν εἶναι.

Περὶ ψυχῆς Γαληνὸς ἀποφαίνεται μὲν οὐδὲν ἀλλὰ καὶ διαμαρτύρεται ἐν τοῖς ἀποδεικτικοῖς λόγοις ὡς οὐδὲν εἴη ψυχῆς ἀποφηνάμενος. ἔοικε δὲ ἐξ ὧν λέγει δοκιμάζειν μᾶλλον τὸ κρᾶσιν εἶναι τὴν ψυχὴν ταύτῃ γὰρ ἐπακολουθεῖν τὴν τῶν ἠθῶν διαφορὰν ἐκ τῶν Ἱπποκράτους κατασκευάζων τὸν λόγον λέγων οὕ-

τως

« πᾶν σῶμα ἔμψυχόν τε καὶ ἄψυχον
« ἐκ τῶν τεσσάρων στοιχείων κέ=
« κραται· ἡ γὰρ τούτων κρᾶσις τὰ
« σώματα ἀπεργάζεται. Εἰ τοί=
νυν ἡ τοῦ σώματος κρᾶσις ἐστὶν
ἡ ψυχή, οὐδὲν ἄμψυχον ἔσται
καὶ συνάγεται ὁ λόγος οὗτος,
εἰ ἡ κρᾶσις τοῦ σώματος ψυχή
ἐστί, πᾶν δὲ σῶμα κρᾶσιν ἔχει,
πᾶν δὲ σῶμα ψυχὴν ἔχει οὐ=
δὲν σῶμα ἐστὶν ἄμψυχον,
οὔτε λίθοι ἄρα οὔτε ξύλα οὔτε
σίδηρος οὔτε ἄλλο τι ἄμψυχον
ἔσται εἰ δὲ μὴ καθόλου πᾶσαν
κρᾶσιν σώματος λέγοι ψυχὴν
εἶναι ἀλλὰ τὴν τοιάνδε ἐρω=
τητέον ποία κρᾶσις ἐστὶν ἡ ποι
οῦσα

ζῶον καὶ ψυχῆς λόγον ἐπέ-
χουσα· ὁποίαν γὰρ εἶπε τὴν
κρᾶσιν τοιαύτην εὑρήσομεν
καὶ ἐν τοῖς ἀψύχοις· ἐννέα
γὰρ οὐσῶν ὡς αὐτὸς ἐν τῷ
περὶ κράσεως ἔδειξε, ὀκτὼ
δὲ τῶν δυσκράτων μιᾶς δὲ
τῆς εὐκράτου κατὰ μὲν τὸν
εὔκρατον λέγει κεκρᾶσθαι
τὸν ἄνθρωπον . - - - -

λίπε.

BIBLIOTECA UNIVERSITARIA DE GRANADA

II

CAJA
2-52